DIE PSYCHOLOGIE UND PÄDAGOGIK

DES

PLUTARCH.

Inaugural-Dissertation

zur

Erlangung der philosophischen Doktorwürde

eingereicht

bei der

hochlöblichen philosophischen Fakultät

der

Friedrich-Alexander-Universität zu Erlangen

von

Elias Dassaritis

Dr. philos.

Gotha.

Friedrich Andreas Perthes.

1889.

DIE PSYCHOLOGIE UND PÄDAGOGIK

DES

PLUTARCH.

Inaugural-Dissertation

zur

Erlangung der philosophischen Doktorwürde

eingereicht

bei der

hochlöblichen philosophischen Fakultät

der

Friedrich-Alexander-Universität zu Erlangen

von

Elias Dassaritis

Dr. philos.

Gotha.

Friedrich Andreas Perthes.

1889.

Η

ΨΥΧΟΛΟΓΙΑ ΚΑΙ ΠΑΙΔΑΓΩΓΙΑ

ΤΟΥ

ΠΛΟΥΤΑΡΧΟΥ.

ΑΙΝΕΣΙΜΟΣ ΔΙΔΑΚΤΟΡΙΚΗ ΔΙΑΤΡΙΒΗ

ΥΠΟ

ΗΛΙΑ ΔΑΣΣΑΡΗΤΟΥ
ΔΙΔΑΚΤΟΡΟΣ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ.

„Πηγὴ καὶ ῥίζα καλοκἀγαθίας
τὸ νομίμου τυχεῖν παιδείας."
Πλούταρχος.

Ἐν Γόθᾳ.
Ἐκδόσει F. A. Perthes.
1889.

Digitized by the Internet Archive
in 2026

https://archive.org/details/IA41546420_0015

ΤΩι ΦΙΛΟΜΟΥΣΩι ΚΑΙ ΜΕΓΑΤΙΜΩι

ΚΥΡΙΩι

ΔΗΜΗΤΡΙΩι ΡΑΚΤΙΒΑΝ

ΕΙΣ ΕΝΔΕΙΞΙΝ

ΣΕΒΑΣΜΟΥ ΚΑΙ ΥΠΟΛΗΨΕΩΣ

ΑΝΑΤΙΘΕΤΑΙ.

Ἐκ τῶν τοῦ Πλουτάρχου ῥῆτραι περὶ παιδείας.

1. Τῆς ἄλλης παιδείας ὥσπερ κεφάλαιον
δεῖ ποιεῖν τὴν φιλοσοφίαν· μόνη γὰρ αὕτη
τῶν τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν φάρμακον.

2. Μεταξὺ τῶν ἄλλων ἐγκυκλίων παιδευμάτων
δεῖ τὴν φιλοσοφίαν πρεσβεύειν.

3. Παιδεία τῶν ἐν ἡμῖν μόνον ἐστὶν
ἀθάνατον καὶ θεῖον.

4. Πηγὴ καὶ ῥίζα καλοκἀγαθίας
τὸ νομίμου τυχεῖν παιδείας.

5. Τὸ πρῶτον καὶ μέσον καὶ τελευταῖον κεφάλαιον
ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστιν.

6. Ἡ παιδεία μέγιστον τοῦ νομοθέτου
καὶ κάλλιστον τυγχάνει ἔργον.

7. Ἡ παιδεία ἐξημεροῖ τοὺς ἀνθρώπους,
ὥστε καὶ καρτερεῖν ἐν πόνοις καὶ νικᾶν ἐν μάχαις.

8. Ἡ παιδεία συντείνει εἰς τὴν ἐκτροφὴν τῶν νέων,
ὅπως μὴ διάφοροι μηδὲ ταραχώδεις
γένοιντο τοῖς ἤθεσιν.

9. Ἡ παιδεία ἀναδεῖ τοῖς ἤθεσι τῶν παίδων τοὺς νόμους
καὶ συνοικειοῖ τῇ τροφῇ τὸν ζῆλον τῆς πολιτείας.

10. Τὸ παιδεύειν τοὺς πολίτας δεῖ σπουδαιότερον
τοῦ νικᾶν τοὺς πολεμίους ἡγεῖσθαι.

Πλούταρχος.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

σελίς

Ἀφιέρωσις v

Ῥῆτραι τοῦ Πλουτάρχου περὶ παιδείας vii

Πίναξ τῶν περιεχομένων . . . . . ix—x

Εἰσαγωγή . . . . . 1—8

I. Ἡ Ψυχολογία τοῦ Πλουτάρχου . . . . . 9—39

α'. Ἡ ψυχὴ ἐκτὸς αὐτῆς . . . . . 9—20

1. Ἡ δημιουργία τοῦ κόσμου 9

(Σημ. Σχέσις τῆς θρησκείας τοῦ Πλουτάρχου πρὸς τὸν Χριστιανισμόν) . . . . . (9—14)

2. Ἡ δημιουργία τῆς ψυχῆς τοῦ ἀνθρώπου 15

3. Ἡ τοῦ ἀνθρώπου ψυχὴ τμῆμα τοῦ παντός 16

4. Ἡ τοῦ ἀνθρώπου ψυχὴ διάφορος τοῦ σώματος . . . 17

5. Ἡ τῆς ψυχῆς ἀθανασία 17

6. Ἡ τῆς ψυχῆς προϋπαρξις καὶ μεθύπαρξις . . . . . 17—18

7. Ἡ τῆς ψυχῆς διαμονὴ ἀποχωριζομένης τοῦ σώματος . 18—20

8. Τελικὸς ἐντεῦθεν τοῦ ἀνθρώπου προορισμός 20

β' Ἡ ψυχὴ ἐν ἑαυτῇ . . . . . 20—39

1. Τὰ συστατικὰ τῆς ψυχῆς . . . . . 20—22

2. Αἱ δυνάμεις τῆς ψυχῆς . . . . . 22—23

3. Αἱ λειτουργίαι τῶν δυνάμεων τῆς ψυχῆς 23

4. Αἱ ἀρεταὶ τῆς ψυχῆς 24

5. Κτῆσις τῶν τῆς ψυχῆς ἀρετῶν διὰ πολιτείας καὶ νόμων 25—28

(Σημ. Ἡ θεωρία τῆς Πολιτικῆς καὶ τῶν Νόμων κατὰ Πλούταρχον) . . . . . (25—32)

6. Ἡ θέσις τῶν ἀρετῶν τῆς ψυχῆς . . . . . 30—34

7. Αἱ τρεῖς περὶ τὴν ψυχὴν ὑπάρχουσαι καταστάσεις . . 34

8. Ἡ γέννεσις τῶν ἠθικῶν ἀρετῶν καὶ τῶν κακιῶν καθ' ὅλου 35—37

9. Τὸ συμπέρασμα πρὸς ὁρισμὸν τῆς θέσεως καὶ καταγωγῆς τῆς τοῦ ἀνθρώπου ψυχῆς 38

10. Τὸ πρὸς μόρφωσιν τῆς ψυχῆς μέσον, ὅπερ ἡ ἀγωγὴ καὶ παιδεία 39

σελίς

Π. Ἡ Παιδαγωγία τοῦ Πλουτάρχου . . . . . 40—80

Α—Β. Ἡ ἀγωγὴ καὶ παιδεία . . . . . 40—43

(*Σημ.* Ἡ Παιδαγωγία τοῦ Πλουτάρχου ἐν σχέσει πρὸς τὴν Χριστιανικὴν Παιδαγωγίαν) . . . . . (43—45)

α'. Ἡ ἐκτὸς τῆς σχολῆς παιδεία . . . . . 44—49

1. *Διὰ τῶν ἐθνῶν καὶ πολιτειῶν* . . . . . 44—46
2. *Διὰ τῶν οἰκογενειῶν* . . . . . 46—48
3. *Διὰ τῶν πατέρων ἰδίᾳ* . . . . . 48—49

β'. Ἡ ἐντὸς τῆς σχολῆς παιδεία . . . . . 49—80

1. *Διὰ τῶν διδασκάλων* . . . . . 49—52
2. *Διὰ τῶν μαθητῶν* . . . . . 52—54
3. *Διὰ τῶν μέσων* (τρόπου καὶ μεθόδου διδασκαλίας, ἐπαίνων καὶ ἀμοιβῶν, ἐπιπλήξεων καὶ νουθετημάτων, ψόγων καὶ μομφῶν, ποινῶν καὶ τιμωριῶν, καλῶν παραδειγμάτων) . . . . . 54—58
4. *Διὰ τῶν εἰδικῶν μαθημάτων, ἅτινά εἰσι* . . . . . 58—61

(*Σημ. Οἱ κλῶνες τῆς Παιδαγωγικῆς ἐπιστήμης*) . . . (61—62)

1) *Θρησκευτικά* . . . . . 61—63
2) Ἱστορία καὶ *Βιογραφίαι* . . . . . 63—64
3) *Φυσικαὶ ἐπιστῆμαι* . . . . . 64—65
4) Ὡραῖαι τέχναι 65
5) *Ποίησις* . . . . . 66—67
6) *Μουσική* . . . . . 67—70
7) Ῥητορική . . . . . 70—72
8) *Γυμναστικὴ καὶ παιδιαί* . . . . . 72—74
9) *Γεωμετρία* . . . . . 75—76
10) *Φιλοσοφία* . . . . . 76—77
11) *Διαλεκτική* . . . . . 77—78
12) Ἠθική . . . . . 78—79
13) *Μυθολογία* . . . . . 79—80

Ἡ *Βιογραφία μου* . . . . . xi—xiii

ΕΙΣΑΓΩΓΗ.

I.

Πλούταρχος ὁ Χαιρωνεύς [1] *ἐστιν ὁ συγγραφεύς ἐκεῖνος, ὃς ὑπολείπεται μὲν κατὰ τε τὴν λέξιν τῶν δοκίμων καὶ ἀπαραμίλλων ἐκείνων τοῦ λόγου τεχνιτῶν, τοῦθ᾽ ὅπερ καὶ αὐτὸς συναισθανόμενος ὁμολογεῖ μὲν καὶ κατὰ τὰς αἰθερίους καὶ δαιμονίους τοῦ πνεύματος πτήσεις, οὐ μὴν ἀλλὰ κέκτηται μεγάλην ἱστορικήν, ἠθικήν τε καὶ παιδαγωγικὴν* [2], *πολιτικὴν καὶ φιλολογικὴν σημασίαν, ἔτι δὲ καὶ φιλοσοφικὴν ἐν τοῖς μεταγενεστέροις τῆς ἀρχαιότητος χρόνοις. Παρέχει δὲ τοσαύτην πληθὺν καὶ τοσαύτην ποικιλίαν ὕλης, ὥστε καθίσταται ὁ ἀνεκτίμητος θησαυρὸς πάσης ἡλικίας καὶ πάσης κοινωνικῆς τάξεως. Βασιλεῖς καὶ γεωργοί, στρατηγοὶ καὶ στρατιῶται, θεωρητικοὶ καὶ πρακτικοί, ἄρχοντες καὶ ἀρχόμενοι, γέροντες καὶ παῖδες, ἄνδρες καὶ ἔφηβοι, ἄρρενες καὶ θήλεις, πᾶν τὸ ἀρέσκον καὶ οἰκεῖον καὶ διδακτικὸν παρὰ Πλουτάρχῳ εὑρεῖν καὶ διὰ πο-*

1) Ὑπὸ τὸ ὄνομα „*Πλούταρχος*“ μνημονεύονται οἵδε· 1) *Πλούταρχος ὁ Χαιρωνεύς, ὁ γνωστὸς φιλόσοφος καὶ συγγραφεύς, ὃν ὑπ᾽ ὄψει ἔχομεν* 2) *Πλούταρχος ὁ Ἀθηναῖος, ὁ υἱὸς τοῦ Νεστορίου καὶ νεοπλατωνικὸς φιλόσοφος·* 3) *Πλούταρχος ὁ Ἀθηναῖος πατὴρ τοῦ Θεομνήστου·* 4) *Πλούταρχος ὁ Ἀθηναῖος πατὴρ τοῦ Ἀττικοῦ·* 5) *Πλούταρχος ὁ τύραννος τῆς Ἐρετρείας·* 6) *Πλούταρχος ὁ Εὐρίου ἐκ Μεγάρων·* 7) *Πλούταρχος ὁ Ἀλεξανδρῖνος ὁ γραμματικὸς καὶ Λειπνοσοφιστής·* 8) *Πλούταρχος ὁ Πλαταιεὺς καὶ ἐπίσκοπος* 495 *μ. Χ. ζήσας.* (Ἔπιθι καὶ Pape Wörterbuch der griechischen Eigennamen. 3. Aufl. von Benseler. Braunschweig 1863—1870. S. 1212).

2) „Plutarque, dit La Harpe, est peut-être l'esprit le plus naturellement moral qui ait existé.“ Ce jugement est vrai. Le sens exquis délicat, infaillible des choses morales est le fond même de la nature de Plutarque et le trait saillant de son intelligence. Il était né moraliste comme Raphaël naquis peintre et Mozart musicien. (Lévêque, „un médecin de l'ame chez les paiens“. Revue des Deux Mondes, Tom. 72. 1867. p. 729.)

λυτιμοτάτων μαργαριτῶν κοσμηθῆναι δύνανται [1]). *Ἀναντιρρήτως δὲ οὐδεὶς ἀρχαῖος συγγραφεύς ἔτυχε πλειόνων ἀναγνωστῶν κατασταὶς διὰ τὰ ὕψιστα αὐτοῦ διδάγματα κοινὸν καὶ προσφιλέστατον ἀνάγνωσμα πάντων τῶν εἰς τὸν πολιτισμὸν προηγμένων ἐθνῶν καὶ μετενεχθεὶς εἰς πλείστας εὐρωπαϊκὰς γλώσσας* [2]). *Διὰ τὴν μεγάλην δὲ καὶ εὐρεῖαν αὐτοῦ πολυμαθίαν* [3]) *οἱ μὲν συμπολῖται αὐτοῦ εἵλοντο αὐτὸν ἄρχοντα ἐπώνυμον, ὁ δὲ Τραϊανὸς* [4]) *ἐτίμησε καταστήσας αὐτὸν ὕπατον Ἰλλυρίας, αὐτὸς δὲ πάλιν τῆς πολυμαθίας αὐτοῦ καὶ φιλοφροσύνης ἕνεκα πληθὺν φίλων* [5]) *προσεκτήσατο καὶ ἰδίᾳ μάλιστα τὸν Σόσσιον Σενεκίωνα, ᾧ πολλὰ τῶν συγγραμμάτων αὐτοῦ ἀνατίθησιν* [6]).

1) *Πρβλ.* Carus, Fr. A., Psychologie, 2. Band, S. 355. S. Jenisch, Theorie der Lebensbeschreibung. S. 28.

2) *Ἕνια μάλιστα τῶν συγγραμμάτων τοῦ Πλουτάρχου μετεγλωττίσθησαι καὶ εἰς τὴν Ἀραβικὴν γλῶσσαν, ἐν οἷς καὶ τὰ αὐτῷ ἐσφαλμένως ἀποδιδόμενα „Ἀρέσκοντα τοῖς φιλοσόφοις“.* (Diels, Doxographi Graeci, S. 28, *σημ.* 1—6.)

3) Denn, ob Plutarch gleich nicht durch Originalität und die Gabe tiefer Spekulation sich auszeichnete, so war er doch ein klarer, nüchterner, durch vielseitige Wissenschaft und Welterfahrung gebildeter Denker, welcher durch seine zahlreichen Schriften über alle Gegenstände der Lebensphilosophie, in denen aller Orten ein ernster und frommer, ein milder und menschlicher Sinn sich ausdrückt, wohlthätig auf sein Zeitalter wirkte. (Tzschirner, Der Fall des Heidentums, 1. Band, S. 128. *Πρβλ. καὶ* August Neander, Über den Kaiser Julianus und sein Zeitalter, S. 20—31.)

4) *Ὁ Πλούταρχος ἐχρημάτισε καὶ διδάσκαλος καὶ ἄμεσος φίλος τοῦ αὐτοκράτορος Τραϊανοῦ.* (Pauly, Real-Encyklopädie, 5. Band, S. 1773.)

5) *Φίλοι αὐτοῦ μνημονεύονται οἵδε: Σόσσιος Σενεκίων, Μέστριος Φλῶρος, Σέξτιος Σύλλας ἐκ Καρχηδόνος, Φουνδάνος, Πάκκιος, οἱ ἀδελφοὶ Νιγρῖνος καὶ Κύντος, Πείσων Ῥωμαῖος, Μάρκος Σήδατος, Κορνήλιος Ποῦλχερ, Τραϊανὸς ὁ αὐτοκράτωρ, Σατορνῖνος, Τερέντιος Πρῖσκος, Θέων ὁ γραμματικὸς, Φιλῖνος, Σεραπίων ὁ ἐξ Ἀθηνῶν ποιητής, Γλαυκίας ὁ ῥήτωρ, Φίλων ὁ ἰατρός, Τρύφων ὁ ἰατρός, Κράτων ὁ μουσικός, Εὔστροφος ἐξ Ἀθηνῶν ὁ Πυθαγόρειος, Ἡρακλέων ἐκ Μεγάρων ὁ Πλατωνικός, Φαβωρῖνος ἐξ Ἀρελάτης ὁ σοφιστής, Ἀριστόδημος ἐξ Αἰγίου ὁ ἀκαδημαϊκός, Δίδυμος ὁ Κυνικός, Βόηθος ὁ Ἐπικούρειος, Θεμιστοκλῆς ὁ Στωϊκός, Ἀμμώνιος ὁ τοῦ Πλουτάρχου διδάσκαλος, Εὐφάνης ὁ πολιτικός, Μενέμαχος ὁ πολιτικός, Ἀντίοχος ὁ Φιλόπαππος, Ἀπολλώνιος, Πολυκράτης, Νίκαρχος, Ἥρκλανος, Ἀλέξανδρος, Νίκανδρος ὁ ἱερεύς, Πολυανός καὶ ἡ σύζυγος αὐτοῦ Εὐρυδίκη καὶ Κλέα ἡ ἱέρεια.*

6) His autem in dialogis quos, nescio an merito in *συμποτικὰ* et *συμποσιακὰ* divisit Plutarchus, Sossium Senecionem de multis et variis rebus dis-

Ἀλλ' ὁ Πλούταρχος ὡς καὶ πάντες σχεδὸν οἱ Ἕλληνες συγγραφεῖς τῆς ἀρχαιότητος πολλὰς διὰ τοῦ πανδαμάτορος χρόνου καὶ μυρίων ἄλλων δυσμενῶν περιστάσεων ὑπέστησαν κολοβώσεις, πολλὰ χωρία αὐτοῦ παρεφθάρησαν καὶ πολλὰ γραφικὰ ἁμαρτήματα παρεισέφρησαν, οὐ μὴν ἀλλὰ καὶ 138 τὸν ἀριθμὸν ἐκ τῶν παντοδαπῶν αὐτοῦ συγγραμμάτων ἀπωλέσθησαν καὶ κείμενα ἐκ τῶν περισωθέντων ἐξέπεσον. Καὶ ἕνια μὲν τῶν ἁμαρτημάτων τούτων ἀποκαλύψαντες ἀπεκάθηραν καὶ διώρθωσαν ὁ Κοραῆς, ὃς καὶ πολλὰ πρώην ἀσαφῆ καὶ ἀδιανόητα χωρία ὀρθῶς ἡρμήνευσεν, ὁ Γρηγόριος Βερναρδάκης [1]) καὶ οἱ νεώτεροι τῶν ἐκδοτῶν Madvig, Wyttenbach, Dübner, Tauchnitz, Cobet, F. Blass, Sintenis, Meineke, Hercher, ἢ καὶ οἱ κείμενα αὐτοῦ κριτικὰ πραγματευσάμενοι Abresch, Doehner, Michaëlis καὶ Treu. Ὁ δὲ Benseler καὶ Volkmann ἀσχοληθέντες εἰς τὴν ἔρευναν τῆς γνησιότητος ἢ μὴ τοιαύτης τῶν συγγραμμάτων τοῦ Πλουτάρχου παρεδέξαντο ὡς ὑποβολιμαῖα μὲν τάδε· περὶ μέτρων καὶ τομῶν, περὶ ποταμῶν, παροιμίας αἷς Ἀλεξανδρεῖς ἐχρῶντο [2]), περὶ τοῦ βίου καὶ τῆς ποιήσεως τοῦ Ὁμήρου [3]), περὶ τῆς Ἡροδότου κακοηθείας, περὶ εὐγενίας, περὶ τοῦ βίου τῶν δέκα ῥητόρων [4]), ἐρωτικὰς διηγήσεις, παραμυθητικὸν πρὸς Ἀπολλώνιον [5]), ἀποφθέγματα Λακωνικά, ἀποφθέγματα βασιλέων καὶ στρατηγῶν, περὶ παραλλήλων ἑλληνικῶν καὶ ῥωμαϊκῶν, περὶ τοῦ μὴ δεῖν δανείζεσθαι χρήματα, τῶν ἑπτὰ σοφῶν συμπόσιον, ἀρέσκοντα τοῖς φιλοσόφοις [6]), περὶ μου-

serentem audimus ac litteris ornatum neque ipsius philosophiae contemptorem esse constat. (Chenevière, de Plutarchi familiaribus, p. 57. — *Πρβλ. καὶ* Betolaud, III, 200 *καὶ* Hertzberg, Die Geschichte Griechenlands unter der Herrschaft der Römer, 2. Teil, S. 158—185).

1) *Ἐν τοῖς βιβλίοις αὐτοῦ* Symbolae criticae et palaeographicae in Plutarchi vitas parallelas et moralia. Leipzig 1879. Plutarchi Chaeronensis Moralia rec. Gregorius Bernardakis, Vol. I, 1888.

2) *Περὶ τῶν Παροιμιῶν αὐτοῦ ἐξέδωκεν ἐσχάτως ὁ* Otto Crusius *διατριβήν, ἐν ᾗ ἀποδείκνυσι τὴν γνησιότητα τοῦ ἔργου.*

3) *Τοῦτο κατὰ τὸν* R. Schmidt *ἔν τινι διατριβῇ αὐτοῦ θεωρεῖται ἔργον τοῦ Πορφυρίου.*

4) *Τὸ ἔργον τοῦτο καὶ ὁ* Westermann *θεωρεῖ ὑποβολιμαῖον.*

5) *Ὁ M.* Dinse *ἐν τῇ διατριβῇ αὐτοῦ* „Beiträge zur Kritik der Trostschrift Plutarchs an Apollonius" *ἀποδείκνυσι τὴν γνησιότητα αὐτοῦ.*

6) *Τὸ ἔργον τοῦτο κατὰ* Zeller *συνεγράφη περὶ τὸ μέσον τῆς δευ-*

σικῆς [1]) καὶ περὶ παίδων ἀγωγῆς [2])· ὡς ἀμφίβολα δὲ τὰ δύο ταῦτα, περὶ εἱμαρμένης [3]) καὶ περὶ τῶν κοινῶν ἐννοιῶν πρὸς τοὺς Στωϊκούς. Τὰ δὲ περὶ ἀδολεσχίας καὶ φιλοστοργίας ὁ Volkmann θεωρεῖ γνήσια, ἐν ᾧ ὁ Benseler τὸ πρῶτον καὶ ὁ Doehner τὸ δεύτερον θεωροῦσι νόθα.

II.

Ὁ πνεῦμα ποιητικὸν [4]) ἅμα καὶ ῥωμαντικὸν [5]) κεκτημένος Πλούταρχος ὡς φιλόσοφος ἐξεταζόμενος κηρύσσεται ἀναφανδὸν πλατωνικός· παρείληφεν ὅμως καὶ τὸ σημαντικώτατον τῆς πυθαγορείου διδασκαλίας μέρος, δι' ὃ ἀνήκει καθ' ὅλου τῇ ἀκαδημαϊκῇ

τέρας π. Χ. ἑκατονταετηρίδος καὶ θεωρεῖται ἔργον τοῦ Ἀετίου (Diels Doxographi Graeci, S. 273 ff.).

1) Τὸ περὶ Μουσικῆς ἔργον τοῦ Πλουτάρχου θεωρεῖται πάντῃ γνήσιον, ὅπερ συνέθετο Πλούταρχος ἐρανισάμενος ἐκ τῶν συγγραμμάτων τοῦ Ἀριστοξένου, Ἡρακλείδου τοῦ Ποντικοῦ καὶ ἄλλων. Ὡς γνήσιον λαμβάνουσιν ὑπ' ὄψει Westphal, Plutarch über das archaische und klassische Zeitalter der griechischen Musik. Breslau 1865, S. 12. — Rofsbach und Westphal, Griechische Rhythmik und Harmonik, 2. Aufl., 1. Band, S. 54. — Bellermann (ὃς θεωρεῖ τοῦτο νεώτερον ἔργον τοῦ Πλουτάρχου), die Tonleiten und Musiknoten der Griechen, 1847, S. 11. — Ambros, Geschichte der Musik, 1880, 2. Aufl., 1. Band, S. 243, 248, 249, 319 κτλ. — Fr. v. Drieberg, Die musikalischen Wissenschaften der Griechen, Berlin 1820, S. 45. — Steinmann, Plutarchi symp. quaest. ultimam interpretatus est dissertatione critica et archaeologica, Petersburg 1845. — Sittl, Geschichte der griechischen Litteratur, 1884, 1. Band, S. 275. — Bergk, Poetae Lyrici Graeci, Lipsiae 1866—1867, S. 350 σημ. 371. — V. Müller, Geschichte der Theorie der Kunst bei den Alten, 1. Band, S. 247.

2) Ὁ Volkmann στερεῖται ἀρκούντων μέσων, ὅπως ἀποδείξῃ τὸ ἔργον τοῦτο ὡς μὴ γνήσιον· τοὐναντίον δ' ὁ Greard (de la morale de Plutarque 4 ed. p. 131 σημ. 3) καὶ πλεῖστοι ἄλλοι θεωροῦσι τὸ ἔργον τοῦτο ἐντελῶς γνήσιον, ἀλλ' ὑποστὰν διὰ τοῦ χρόνου παραφθορὰν κειμένου.

3) Τὸ περὶ Εἱμαρμένης ὁ Zeller φαίνεται θεωρῶν γνήσιον καὶ ὑπ' ὄψει αὐτὸ πολλάκις λαμβάνων.

4) Ἔπιθι Rheinisches Museum für Philologie von O. Ribbeck und F. Bücheler, 39. Band, 1884. „Ein Lehrgedicht des Plutarch von Otto Crusius", S. 580—606. Πρβλ. καὶ Jahresbericht für Altertumswissenschaft, her. von Iwan Müller, 42. Band, 13. Jahrgang, 1885, S. 125.

5) Ἔπιθι Allgemeine Zeitung für das Jahr 1869, Stuttgart und Augsburg, Beilage No. 99 καὶ 100, „Plutarch als Romantiker".

ἢ ἐκλεκτικῇ πλατωνικῇ φιλοσοφίᾳ ὡς πυθαγορίζων πλατωνικός. Οὐχ ἧττον ὅμως οὐκ ἀποφράσσει ἑαυτὸν ἔτι καὶ ἀπὸ τῆς ἐπιδράσεως τῆς περιπατητικῆς φιλοσοφίας [1]· ἔν τισι δὲ οὐδ᾽ ἀπ᾽ αὐτῆς τῆς Στωϊκῆς φιλοσοφίας, καίπερ κατ᾽ αὐτῆς λάβρως ἐπιτιθέμενος, μόνην δὲ τὴν Ἐπικούρειον φιλοσοφίαν ἀπολύτως ἀποκρούει. Πολεμεῖ δὲ τὴν ὑλικὴν τῶν Στωϊκῶν θεωρίαν καὶ τὸν πανθεϊσμὸν αὐτῶν, τὴν ἀθεότητα τῶν Ἐπικουρείων, ἀμφοτέρων τὸ πεπρωμένον καὶ τὴν τοῦ ὄχλου δεισιδαιμονίαν [2]). Ὡς παιδαγωγὸς δ᾽ ἰδίᾳ θεωρούμενος καταλαμβάνει τὴν πρώτην σχεδὸν θέσιν ἐν τῇ ὑστέρᾳ ἐποχῇ τῆς ἀρχαιότητος καὶ τὰ παντοδαπὰ αὐτοῦ συγγράμματα βρίθουσι δαψιλῶν παιδαγωγικῶν γνωμῶν καὶ μάλιστα τὰ καλούμενα Ἠθικά, ἅτινα εἶδος ποιητικῆς φιλοσοφίας θεωρηθῆναι δύνανται. Ὁ Πλούταρχος ἐγεννήθη φύσει παιδαγωγός, ὡς γεννᾶται πᾶς καλλιτέχνης· τοσαύτην δὲ σημασίαν κέκτηται ὡς παιδαγωγός, ὥστε ὁ Montaigne [3]) καὶ ὁ Rousseau τὰς παιδαγωγικὰς αὐτῶν γνώμας κατὰ πλεῖστον μέρος ἐκ τοῦ Πλουτάρχου ἠρύσθησαν· ὁ δὲ Rousseau μάλιστα προτιμᾷ τὸν Πλούταρχον πάντων σχεδὸν τῶν Ἑλλήνων συγγραφέων διὰ τὰ ποικίλα καὶ τερπνὰ αὐτοῦ διδάγματα. Τῷ ὄντι ὁ Πλούταρχός ἐστιν ἀληθὴς ἀνεξάντλητος πηγὴ δι᾽ ὑγιεῖς ἀνθρώπους καὶ διὰ τὴν γνῶσιν τοῦ κόσμου [4]). Εἰ δ᾽ αὐτὸς καὶ τοῦ Χριστιανισμοῦ ἀνέπαφος διετέ-

1) Gestützt (Plutarch) auf die tieferen Lehren des Platon und der Pythagoraeer, mit denen er namentlich aristotelische Sätze geschickt zu verschmelzen mufste. (Hertzberg, Geschichte Griechenlands, 2. Teil, S. 168.)

2) Plutarch bekämpft den Stoischen Monismus und rekurriert auf die Platonische Annahme zweier kosmischer Prinzipien, Gottes als des Urhebers des Guten und der Materie als der Bedingung der Existenz des Bösen. (Überweg, Geschichte der Philosophie, 7. Aufl., S. 279.)

3) Montaigne schätzte Plutarch hoch und gestand, dafs er seine eigenen Essays (Essais II, 4) zum gröfsten Teile aus Seneca und Plutarch geschöpft habe, auch kann man diejenigen von Plutarch hinterlassenen Werke, welche gewöhnlich mit dem Gesammtnamen „Moralia" bezeichnet werden und sich über alle denkbaren Themata verbreiten, mit gutem Rechte Essays nennen. Plutarch mufs in erster Linie als praktischer Lehrer geschätzt werden. (Magazin für die Litteratur des Auslandes. 1874, No. 4, S. 55—57.)

4) Unter den griechischen Schriftstellern, welche in den oberen Klassen der Gymnasien gelesen zu werden pflegen, nimmt Plutarch von Chaeronea einen vorzüglichen Platz ein. Mit Recht nennt Siefert die Lebensbeschreibungen daher

λεσεν, οὐχ ἧττον ὅμως πᾶς τις ἀναγνωρίζει ἐν τοῖς συγγράμμασιν αὐτοῦ τὸ πνεῦμα τῆς πρώτης μ. Χ. ἑκατονταετηρίδος, ὅτε καταφαίνεται ἡ ἐν τῷ κόσμῳ κινητικὴ τοῦ Εὐαγγελίου δύναμις.

III.

Ἐν τῇ παρούσῃ ταύτῃ διατριβῇ ἐζήτησα ἐπὶ τὸ συστηματικώτερον ἐρευνᾶν γενικήν τινα ἄποψιν ἐπὶ τῆς Φιλοσοφίας καὶ Παιδαγωγίας τοῦ Πλουτάρχου, ἣν οὐδείς πω οὕτω διεπραγματεύσατο. Ὅσοι γὰρ περὶ Πλουτάρχου ἔγραψαν, οὗτοι ἢ πάντῃ μονομερεῖς ὑποθέσεις ἔλαβον καὶ δὴ φιλολογικὰς ἢ πάντῃ διαφόρως τοῦ θέματος τούτου ἐπελάβοντο. Φειδόμενος δ᾽ ἔτι τοῦ χρόνου καὶ τῆς δαπάνης τοῦ ἔργου ἀπέφυγον καὶ τὰς πολλὰς παρατηρήσεις καίπερ ἀρκούσας σχὼν τοιαύτας ἐπενεγκεῖν εἰς τὰς παιδαγωγικὰς μάλιστα τοῦ Πλουτάρχου γνώμας ἐν παραλληλισμῷ πρὸς τὰς τῶν ἀρχαίων ποιητῶν καὶ φιλοσόφων, οὐ μὴν ἀλλὰ καὶ πρὸς τὰς τῶν νεωτέρων ἔτι φιλοσόφων καὶ παιδαγωγῶν καὶ διαφόρων ἄλλων συγγραφέων ἀφορώσας. Ἐγκύψας δ᾽ οὖν μόνον εἰς τὴν μελέτην αὐτῶν τούτων τῶν συγγραμμάτων τοῦ Πλουτάρχου, ἐξ ὧν ἔσχον ὑπ᾽ ὄψει τὰς ἐκδόσεις τῶν Παραλλήλων βίων τοῦ Sintenis *καὶ τῶν Ἠθικῶν τοῦ* Duebner, *ἐξήγαγον ἐκ πάντων τούτων πᾶσαν φιλοσοφικὴν καὶ παιδαγωγικὴν αὐτοῦ γνώμην εἰς ἓν ὅλον συμπεριλαβὼν καὶ τολμῶν ἅμα συνιστάναι τοῖς βουλομένοις καθολικήν τινα περὶ αὐτῶν ἔννοιαν λαβεῖν. Καὶ πᾶσαν μὲν τὴν φιλοσοφίαν αὐτοῦ διεῖλον εἰς πέντε τμήματα, τὴν Κοσμογονίαν, τὴν Θεολογίαν,*

ein *ἀντίδοτον* gegen viele Gifte, welche in unserer Zeit den zarten Gemütern geboten werden. Der verstorbene auch Homeriker Nitzsch äufserte oft, er wundere sich, dafs diese Biographieen so wenig von den Lehrern der Gymnasien beachtet werden, und dafs kein Lehrer sich daran mache, dieselbe zu bearbeiten; keine sei lohnender als diese. (Hudemann, in der Zeitschrift für das Gymnasialwesen von Hollenberg, Jacobs und Rühle, 18. Jahrgang, 1864, S. 497 und 502.)

1) *Εἰς ταῦτα προσετέθησαν ἔτι καὶ τρία λεπτομερῆ παραρτήματα· ἓν μὲν εἰς τὴν Θεολογίαν ἀφορῶν εἰς τὴν σχέσιν τῆς θρησκείας τοῦ Πλουτάρχου πρὸς τὸν Χριστιανισμόν, ἕτερον δ᾽ εἰς τὴν Ἠθικὴν πραγματευόμενον περὶ τῆς παρὰ Πλουτάρχῳ Νομικῆς ἐπιστήμης* (Rechtswissenschaft), *καὶ τὸ τρίτον εἰς τὴν Αἰσθητικὴν περιλαμβάνον τὰ περὶ ἀσπίδων, νομισμάτων, σφραγίδων, κρατήρων καὶ λοιπῶν.*

τὴν Ἠθικήν, τὴν Πολιτικὴν καὶ τὴν Αἰσθητικήν, ἕκαστον δὲ πάλιν τούτων εἰς τὰ οἰκεῖα αὐτῶν μέρη, τὴν δὲ Παιδαγωγίαν εἰς δύο, τὴν Ἀγωγὴν ἅμα καὶ Παιδείαν ἐντός τε καὶ ἐκτὸς τῆς σχολῆς. Δι' ὃ πλὴν τῆς Φιλοσοφίας καὶ Παιδαγωγίας τοῦ Πλουτάρχου ὑπολείπονται καὶ τέσσαρα ἄλλα τμήματα πρὸς πλήρη καὶ ἐνδελεχῆ αὐτοῦ μελέτην καὶ κατανόησιν, ἤτοι τὸ Φιλολογικὸν μέρος, τὸ Ἱστορικόν, τὸ περὶ τοῦ Βίου καὶ τῶν Συγγραμμάτων αὐτοῦ· οὕτω δὲ τότε δύναταί τις καθαρὰν καὶ σαφῆ περὶ πάσης τῆς συγγραφῆς τοῦ Πλουτάρχου ἔννοιαν κτᾶσθαι.

Τέλος δὲ ἐπειδὴ ἡ διατριβὴ αὕτη ἀρκούντως μακρὰ φανείη ἂν τῷ οἰκείῳ καθηγητῇ χάριν τῶν διδακτορικῶν ἐξετάσεων, τούτου ἕνεκα μόνον ἐξ αὐτῆς τὸ Ψυχολογικὸν καὶ Παιδαγωγικὸν μέρος καθυπέβαλον αὐτῷ πρὸς ἐπίτευξιν τοῦ διπλώματος. Οὐχ ἧττον ὅμως ἐπειδὴ ἠγαπήσαμεν τὸν Πλούταρχον διὰ τοὺς παμπόλλους θησαυροὺς καὶ μαργαρίτας ἐν τοῖς συγγράμμασιν αὐτοῦ, ἅτινα ἀνθρωπίνης ἀρετῆς καὶ πάσης τέρψεως βιωτικῆς καὶ ψυχαγωγίας ἐφόδιον θεωρηθῆναι δύνανται, ἐπιφυλασσόμεθα βραδύτερον ἀναπληρῶσαι τὴν πρὸς ἔκδοσιν τοῦ ὅλου ἔργου ἐπιθυμίαν ἡμῶν ταύτην κατὰ τὸ διάγραμμα τόδε·

I.

Φιλοσοφία.

Α. Κοσμογονία.

α. Κόσμος.	β. Τὰ ἐν τῷ κόσμῳ.
1. *Δημιουργία τοῦ κόσμου.*	1. *Ὁ ἄνθρωπος.*
2. *Ψυχὴ τοῦ κόσμου.*	2. *Τὰ θηρία.*
3. *Αἱ δύο ἀρχαὶ τοῦ κόσμου.*	3. *Τὰ στοιχεῖα καὶ οἱ κόσμοι.*
4. *Χρόνος καὶ ἀριθμοὶ αὐτοῦ.*	

— Ἀποψις τῆς Κοσμογονίας τοῦ Πλουτάρχου πρὸς τὴν σήμερον. —

Β. Θεολογία.

α. Ὁ Δημιουργὸς Θεός.	β. Τὰ λοιπὰ θεῖα ὄντα.
1. *Θεότης καὶ λατρεία Θεοῦ.*	1. *Ὁρατοὶ καὶ οὐράνιοι Θεοί.*
2. *Πίστις ἀποκαλύψεως καὶ Μαντική.*	2. *Οἱ δαίμονες.*
3. *Πρόνοια τοῦ Θεοῦ.*	3. *Οἱ Ἡμίθεοι (ἥρωες).*

— Σχέσις τῆς θρησκείας τοῦ Πλουτάρχου πρὸς τὸν Χριστιανισμόν. —

Γ. Ἠθική.

α. Ἡ ἀρετή.	β. Ἡ κακία.
1. *Ἡ ἀρετὴ καθ' ἑαυτήν.*	1. *Τὰ πάθη.*
2. *Ἡ ἀρετὴ καθ' ὅλου.*	2. *Ἡ κακία καθ' ὅλου.*
3. *Ἡ ἀρετὴ κατ' εἶδος.*	3. *Ἡ κακία κατ' εἶδος.*

— Ἡ Νομικὴ ἐπιστήμη παρὰ Πλουτάρχῳ. —

Δ. Αἰσθητική.

α. Αἱ ἐν χρόνῳ τέχναι.

1. *Ποίησις.*
2. *Μουσική.*
3. *Ρητορική.*

β. Αἱ ἐν χώρῳ τέχναι.

1. *Ἀρχιτεκτονική.*
2. *Πλαστική.*
3. *Ζωγραφική.*

— *Ἀσπίδες, νομίσματα, σφραγῖδες, κρατῆρες, κλ.* —

Ε. Πολιτική.

α. Ὁ πολιτικὸς ἀνὴρ ἐξ ὑποκειμένου.

1. *Ἡ θέσις τοῦ πολιτικοῦ ἀνδρός.*
2. *Ἡ ἀρετὴ „ „*
3. *Οἱ λόγοι „ „*

β. Ὁ πολιτικὸς ἐξ ἀντικειμένου.

1. *Οἱ φίλοι καὶ συνυπουργοί.*
2. *Αἱ ὑπὸ τῆς πολιτείας ἀπονεμόμεναι αὐτῷ τιμαί.*
3. *Ἡ πολιτεία καὶ οἱ πολῖται.*

— *Σύγκρισις τῆς σήμερον Πολιτικῆς πρὸς τὴν τοῦ Πλουτάρχου.* —

II.

Παιδαγωγία.

Ἔπιθι ἐν σελ. X τὸν σκελετόν.

— *Σύγκρισις τῆς Παιδαγωγίας τοῦ Πλουτάρχου πρὸς τὴν Χριστιανικὴν Παιδαγωγίαν.* —

III.

Φιλολογία.

α. Φιλολογικὴ ἀξία.
β. Ἱστορία καὶ βιογραφίαι.
γ. Βίος Πλουτάρχου.
δ. Συγγράμματα.

Η ΨΥΧΟΛΟΓΙΑ ΚΑΙ ΠΑΙΔΑΓΩΓΙΑ
ΤΟΥ
ΠΛΟΥΤΑΡΧΟΥ.

I.
Η ΨΥΧΟΛΟΓΙΑ.
α'. Η ψυχὴ ἐκτὸς αὐτῆς.

Ὁ Θεός ἐστι τὸ ὄντως ὄν, τὸ ἀΐδιον καὶ ἀγένητον καὶ ἄφθαρτον, ᾧ χρόνος μεταβολὴν οὐδὲ εἷς ἐπάγει [1])· *ἀγαθὸς γὰρ ὢν τελέως οὐδεμιᾶς ἀρετῆς ἐνδεής ἐστιν, ἀλλὰ λόγος αὐτὸς καθ' ἑαυτὸν ἀμιγής καὶ ἀπαθής* [2]). *Τοιοῦτος οὖν ὢν ὁ Θεός, εὑρὼν*

1) *Ὁ Πλούταρχος ἐπίστευεν ἑνὶ μόνῳ Θεῷ καὶ ἦν μονοθεϊστὴς ὡς ἀποφαίνεται καὶ ὁ πολὺς καὶ πρωτοστάτης τῆς τῶν Παλαιοκαθολικῶν ὁμάδος Δοιλλίγγερος.* Plutarch war wirklich Monotheist, insofern als er einen persönlichen höchsten Gott, Zeus, annahm, dem er jede denkbare ethische und geistige Vollkommenheit beilegte und dessen Seligkeit in seinem Wissen besteht. (Döllinger, Heidentum und Judentum, Regensburg 1857, S. 581.)

2) *Ὁ Πλούταρχος τοσοῦτον καθαρωτάτην περὶ Θεοῦ ἰδέαν ἔσχε καὶ τοσοῦτον θεοσεβὴς ἦν, ὥστε πρὸς δυσμὰς τοῦ βίου αὐτοῦ βουλόμενον ἀπαλλαγῆναι ἐκ τῆς πολιτικῆς τύρβης γενέσθαι αὐτὸν ἱερέα τοῦ ἐν Δελφοῖς ναοῦ τοῦ Ἀπόλλωνος. Τὴν θεοσεβίαν καὶ πρὸς τὴν θεότητα εὐλαβίαν αὐτοῦ δύναταί τις ἰδεῖν ἐν τοῖς περισῳθεῖσι καὶ ὅλως θρησκευτικοῖς αὐτοῦ συγγράμμασιν· ἀτυχῶς ὅμως ἀπωλέσθη ἐξ αὐτῶν τὸ ἐν δυσὶ βιβλίοις σπουδαιότατον „περὶ Θεῶν" σύγγραμμα, ἐν ᾧ ἀνεκτίμητοι περὶ τῆς θεότητος ἰδέαι περιλαμβάνοιντο. Οὐ μὴν ἀλλὰ καὶ ἐν τοῖς φιλοσοφικοῖς αὐτοῦ ἔργοις ἐνορᾷ τις τὴν θρησκευτικότητα τοῦ Πλουτάρχου ὡς βαθεῖαν καὶ πλήρη εὐλαβίας τε καὶ τῆς γνώσεως ἑνὸς ὑψηλοτέρου κόσμου* α), *εὑρισκομένων τῆς φιλοσοφίας καὶ θρησκείας μετὰ τῆς ἠθικῆς εἰς ἀδιάσπαστον καὶ ἀλληλένδετον συνάφειαν· οὐδεὶς γὰρ δεύτερος Ἕλλην συγγραφεύς ὑπάρχει, ὃς τὴν θρησκείαν τοσοῦτον φιλοσοφικῶς ἀντιλαμ-*

α) *Ἔπιθι καὶ* Friedländer, Sittengeschichte II, S. 435.

δ' ἐν τῷ κόσμῳ τὴν ἄτακτον καὶ ἀνώμαλον προϋπάρχου-

βάνεται καὶ τὴν φιλοσοφίαν τοσοῦτον θρησκευτικῶς πραγματεύεται ὡς ὁ Πλούταρχος. Ἀλλ' ἀρά γε φαίνεται παρὰ Πλουτάρχῳ ἀπήχησις τοιαύτη τοῦ Χριστιανισμοῦ; Τῆς ἐρεύνης ταύτης ἀμέσως διελθεῖν συντόμως ἐπιλαμβανόμεθα ἐπιφυλασσόμενοι ἀλλοτε ἐκτενέστερον τὴν χριστιανικὴν τοῦ Πλουτάρχου θεολογίαν πραγματευθῆναι.

Τὰ ἄπειρα ἀναγνώσματα τοῦ Πλουτάρχου, αἱ περιοδεῖαι αὐτοῦ, ἡ ἐν Ῥώμῃ μακρὰ αὐτοῦ διαμονή, αἱ δημιουργοῦσαι αὐτῷ σχέσεις τὰ τῆς ἱερωσύνης καθήκοντα παρὰ τῷ ναῷ τῶν Δελφῶν, συνετέλεσαν αὐτῷ μὴ ἀγνοεῖν παντὸς, ὅπερ τῇ ἠθικῇ καταστάσει τῆς κοινωνίας κατὰ τὴν ἐποχὴν αὐτοῦ προσήγγιζεν. Ἐμελέτησε τὰ ἤθη τῶν Ἰνδῶν· ἀνηρεύνησε τοὺς μύθους τῆς Αἰγύπτου. Οἷόν τε μάλιστα ἀπαιτεῖν μετὰ πιθανότητος τοῦ λόγου, ὅτι καὶ εἰς τὴν μελέτην τῆς ἱερᾶς Βίβλου ἐπέδωκε καὶ τὰ τῶν Ἀποστόλων βιβλία οὐκ ἔμειναν αὐτῷ ἄγνωστα. Βεβαιόν ἐστιν ὅτι ἡ μεταγλώττισις τῆς κατὰ τοὺς Ἑβδομήκοντα Βίβλου, τὰ συγγράμματα τοῦ Ἰουδαίου καὶ συγχρόνου αὐτῷ Φίλωνος, ἡ ἱστορία τοῦ Διοδώρου, τὰ ἔργα τοῦ Ἰωσήπου, ἐγνώρισαν τὸν Ἰουδαϊσμὸν τοῖς Ἕλλησιν, ὧν ἐν Γαλιλαίᾳ πολλοὶ τοιοῦτοι ὑπῆρχον. Δι' ὃ καὶ ὁ Βολταῖρος ἔγραφεν ὅτι ὁ Πλατωνισμός ἐστιν ὁ πατὴρ τοῦ Χριστιανισμοῦ, ἡ δὲ Ἰουδαϊκὴ θρησκεία ἡ μήτηρ αὐτοῦ [a]).

Πλὴν τούτου ὁ Θεὸς πρὶν ἔτι τὸν Πλούταρχον γεννηθῆναι ἀνέῳξεν ἤδη τοῖς εἰδωλολάτραις τὴν τῆς πίστεως εἴσοδον. Οἱ Ἀπόστολοι Πέτρος καὶ Παῦλος συνεπλήρωσαν τὴν ἀποστολὴν αὐτῶν. Τὸ Εὐαγγέλιον διὰ τοῦ Ἀποστόλου Παύλου μάλιστα κεκήρυκται ἐν Θρᾴκῃ, ἐν Μακεδονίᾳ, ἐν Φιλίπποις, ἐν Θεσσαλονίκῃ, ἐν τῇ ἰδίως Ἑλλάδι, ἐν Κορίνθῳ, ἐν Ἀθήναις, πέριξ τῆς Χαιρωνείας, πρὶν ἢ τὸν Πλούταρχον τὴν γενέθλιον αὐτοῦ πόλιν τὸ πρῶτον καταλιπεῖν. Δι' ἓν πνεῦμα φιλοσοφικὸν ὁποῖον θέαμα καὶ ὁποία περίπτωσις ἐπαγωγὸς πρὸς σύνθεσιν τῶν συστημάτων τούτων καὶ πάντων τῶν θρησκευτικῶν ἐγχειρημάτων πρὸς τὴν ἀρχαίαν θρησκείαν καὶ πρὸς ὑποστήριξιν τῆς εἰδωλολατρείας κατὰ τῆς χριστιανικῆς διδαχῆς. Ἡ ἐργασία ὡρίσθη εἰς ἁπλῆν τινα ἔκθεσιν τῶν φιλοσοφικῶν σχολῶν τῆς ἀρχαιότητος· ἡλίκη δ' ὑπηρεσία ἐχρησίμευσε τῇ ἱστορίᾳ εἰς ἐποχήν, καθ' ἣν ἐπεκράτουν πᾶσαι αἱ μαρτυρίαι, αἵτινες ἐπέτρεπον ἐξ αὐτῶν ἀκριβῶς τὴν εἰκόνα οἰκοδομῆσαι. Ἵνα κρίνῃ τις ταῦτα ἐκ τῶν συλλογῶν αὐτοῦ τῶν σημειώσεων, οὔκ εἰσι βεβαίως τὰ στοιχεῖα, ἅτινα κατέλιπον τῷ Πλουτάρχῳ, ὅπως τὸ μέγα τοῦτο ἔργον ἐκπληρώσῃ· ἀλλὰ δύναταί τις ἀφ' ἑτέρου μετὰ βεβαιότητος ὁμολογεῖν ὅτι οὐδεὶς σκοπὸς πλέον ἀφίστατο τῆς διανοίας αὐτοῦ.

Πᾶς τις οἵδε οἷα αἰσθήματα ἡ χριστιανικὴ πίστις ἐξήγειρε τῇ γενεᾷ ἐν τῷ κόσμῳ τῶν εἰδωλολατρῶν. Ξενιζόμενος ὑπὸ τῶν γενικωτέρων πνευμάτων τῆς ὀλεθρίου δεισιδαιμονίας καὶ συνοδηγούμενος ὑπ' ἀνθρώπων ἐν μίσει πρὸς

---

a) Voltaire von David Strauſs p. 266. *Πρβλ.* καὶ „der jüdische Hellenismus" von Siegfried in d. Zeitschrift für wissenschaftliche Theologie von Hilgenfeld, 1876, p. 466.

σαν ὕλην καὶ τὴν πλημμελῶς πάντα καὶ ἀτάκτως κινοῦσαν

αὐτὸν διατελούντων ὁ Χριστιανισμὸς ἦν ὁ μᾶλλον μετὰ τοῦ Ἰουδαϊσμοῦ συγκεχυμένος καὶ ἐν τῇ αὐτῇ ἀπεχθείᾳ ἢ τῇ αὐτῇ περιφρονήσει διακείμενος. Οἱ φιλόσοφοι, ὡς οἱ ἄρχοντες, οὐκ ἀπέβλεπον ταῖς ἀντιπαθείαις τῶν Ἰουδαίων καὶ τῶν Χριστιανῶν ἢ ταῖς ἔρισι τῆς αἱρέσεως. Ὁ Πλούταρχος ἔκρινε ταῦτα οὕτω; Τοῦτο οὐκ ἄμοιρον πίστεως ἀκούσης. Βέβαιον ὅμως τυγχάνει ὅτι ἐν ἐκείνοις τοῖς συγγράμμασιν αὐτοῦ, ἅτινα διὰ τοῦ πανδαμάτορος χρόνου ἀπώλοντο, ὑπημίξατο οὐχὶ ἔλαττον τοὺς Χριστιανούς. Ἀλλ' οὐκ ἔχει τὸ αὐτὸ καὶ περὶ τῶν Ἰουδαίων. Ἡ αὐστηρότης τῆς πίστεως τούτων, οἱ τύποι τῆς λατρείας, αἱ θρησκευτικαὶ αὐτῶν τελεταί, ταῦτά εἰσι τὰ ἐνδόσιμα, ὧν ἕνεκα ὁ Πλούταρχος ποιεῖται λόγον πλέον ἢ ἅπαξ ἐν ταῖς πραγματείαις αὐτοῦ. Ἀλλὰ περὶ πάντων τούτων διεξέρχεται γενικῶς ὡς ἂν τὸ πλῆθος ἀποφαίνοιτο· σκώπτει τοὺς τύπους τῶν Ἰουδαϊκῶν τελετῶν ἢ πειρᾶται κατανοεῖν τὴν ἔννοιαν αὐτῶν, ἵν' ἀναδέσῃ ταῦτα συστηματικώτερον τοῖς δόγμασι τῆς ἑλληνικῆς θρησκείας α). Ἡ αὐτὴ ζηλότυπος προκατάληψις ἐν τοῖς αἰσθήμασι τῆς πατρίδος αὐτοῦ εἰσπνέει ἐν ταῖς παρατηρήσεσιν αὐτοῦ καὶ ἐπὶ τῶν λατρειῶν τῆς Ἀνατολῆς. Εἰ ἡ Αἰγυπτιακὴ μυστικὴ οὐκ ἐπήνεγκε τῇ φαντασίᾳ αὐτοῦ συναίσθησίν τινα πράγματι συγκεχυμένην ταῖς ἑρμηνείαις, ἃς τῇ λατρείᾳ τῆς Ἴσιδος καὶ τοῦ Ὀσίριδος δίδωσιν, ἐβούλετο ἀνακαλεῖν πάσας τὰς προτιθεμένας αὐτῷ ὑποθέσεις τῇ ἐπιστήμῃ, ἐπιτρέπων ἑκάστῳ αἱρεῖσθαι ὅ, τι βέλτιον αὐτῷ ἐπέρχεται β) διὰ τοῦ ἀποκλειστικῶς ἑλληνικοῦ αἰσθήματος γ).

Καὶ ταῦτα μὲν δὴ ταύτῃ. Ἐχόμενον δ' ἐστι συντόμως διελθεῖν περὶ τῆς ἀμέσου σχέσεως τοῦ σεβαστοῦ ἱερέως τοῦ Ἀπόλλωνος πρὸς τὴν χριστιανικὴν θρησκείαν.

Ἀφ' οὗ διὰ πιθανότητος ἔχεται ὅτι ὁ Σενέκας δ) ζῶν 2—65 μ. Χ. ἔλαβεν ἔννοιάν τινα τῶν ἰδεῶν τοῦ Χριστιανισμοῦ, καθ' ἃ τοῦτο ἐν πολλοῖς τῶν συγ-

α) Πρβλ. Πλουτάρχ. Στωϊκ. Ἐναντ. 38. Συμπ. Προβλ. Α, δ, 5. Δεισιδαιμ. 8. Ἔπιθι καὶ Τακίτου ἱστορίαν V, 2—5.

β) Πλουτ. περὶ Ἴσιδ. καὶ Ὀσίρ. 20. 45. 64. 66.

γ) Αὐτόθ. 2. 10. 25. 26. 29. 32. 34. 35. 48. κτλ. Ἔπιθι καὶ Gréard, de la Morale de Plutarque 4 ed. p. 49.

δ) Ὁ Greard συγκρίνων ἕνια τῶν ὁμοίων συγγραμμάτων τοῦ Πλουτάρχου καὶ Σενέκα εὑρίσκει τὰ τοῦ Πλουτάρχου ἁρμοδιώτερα πρὸς ἠθικὴν τοῦ ἀνθρώπου μόρφωσιν. Οὕτω δὲ ce que Sénèque, en effet, regrette de ne pouvoir faire, Plutarque l'accomplit. Il va tâter le pouls de ses malades, il leur porte en personne ses recommandations, ses consolations, ses conseils, sans craindre d'exposer sa sagesse à un mauvais accueil; ... Plus directe, plus intime, que celle de Sénèque, son action est aussi plus étenduc. Quelle qu' aist pu être la publicité donnée aux Epîtres à Lucilius, il est certain que Sénèque n'a jamais fait métier de professer la sagesse; et, Lucilius excepté, il n'a eu en quelque sorte, que des disciples d'occasion. A ses entretiens privés, à ses démarches particulières, Plutarque joint les leçons et les consultations de l'enseignement public, dont il vient de nous faire con-

τοῦ κόσμου κακὴν ψυχὴν ἔταξε καὶ διεκόσμησε καὶ συνήρ-

γραμμάτων αὐτοῦ α) φαίνεται καὶ ἐν ἀλληλογραφίᾳ β) μετὰ τοῦ Ἀποστόλου Παύλου διετέλει, πόσον μᾶλλον ὁ Πλούταρχος ζῶν 50—120 μ. Χ. περίπου ἤτοι τὴν πρώτην μετὰ Χριστὸν ἑκατονταετηρίδα; Πῶς οὐ χρὴ πιστεύειν ὅτι ἡ πυρώδης τοῦ Παύλου καὶ ῥομφαία γλῶσσα, κηρύξαντος τὸ Εὐαγγέλιον ταῖς μᾶλλον πεπολιτισμέναις πόλεσι τοῦ χρόνου ἐκείνου, τῇ Ῥώμῃ καὶ ταῖς Ἀθήναις, οὐκ ἐγνώσθη ἔπειτα τῷ Πλουτάρχῳ; Πῶς οὐ χρὴ πιστεύειν ὅτι ὁ Πλούταρχος ζῶν ὑπὸ τοὺς ἀμειλίκτους τοῦ Χριστιανισμοῦ διώκτας, Ἁδριανὸν καὶ Τραϊανόν, οἳ καθ' ἑκάστην ἐξεδίδοσαν διατάγματα, εἰς τὸν διωγμὸν τῶν Χριστιανῶν ἀφορῶντα, οὐκ ἦν ἐν γνώσει τοῦ Χριστιανισμοῦ γ); Πῶς οὐ δεῖ πιστεύειν, ὅτι οὐκ ἐγνώσθη τὸ Εὐαγγέλιον τῷ Πλουτάρχῳ, ὃς ὡς ὕπατος τῆς Ἰλλυρίας, ὡς ὑπάλληλος τοῦ Τραϊανοῦ, ὤφειλε τὰ κατὰ τῶν Χριστιανῶν ucasia, ἅτινα παρὰ τοῦ ἀνωτάτου αὐτοῦ ἄρχοντος ἐλάμβανε, γνωρίζειν πᾶσι τοῖς ἐν Ἰλλυρίδι καὶ Ἑλλάδι ὑπηκόοις αὐτοῦ; Τοσαύτην δ' ἐπὶ τῆς Ἰλλυρίδος δύναμιν ἔχειν τῷ Πλουτάρχῳ Τραϊανὸς ἀπένει-

naitre les regles. (De la Morale de Plutarque p. 67—68 καὶ 177—193. Πρβλ. καὶ L'évêque, un médecin de l'ame chez les paiens. Revue des Deux Mondes, Tom. 72. Oktober 1867, p. 729 κέξ).

α) Πρβλ. Σενέκα: de Ira, Consolatio ad Marciam, ad Helviam, ad Polybium, de tranquillitate animi, de Providentia, Quaestiones naturales, πρὸς τὰ σχετικὰ τοῦ Πλουτάρχου συγγράμματα.

β) Ἡ ἀλληλογραφία αὕτη φαίνεται ὑποστᾶσα, διατρίβοντος τοῦ Ἀποστόλου Παύλου ἐν Κορίνθῳ, διὰ τοῦ ἀδελφοῦ τοῦ Σενέκα (Πράξεις Ἀποστόλων 18, 12. Seneca, Quaest. nat. IV. Préf. καὶ Consol. ad Helviam 16) καὶ ἐν Κορίνθῳ ἀνθυπάτου Ῥωμαίου Γαλλίωνος, ὃς avait envoyé à Sénèque son frère les livres des chrétiens, and lui recommandant et leur doctrine et leur apôtre. (Aubertin, Sénèque et Saint Paul ed. 3, p. 64). Πολλοὶ ὅμως τῶν Κριτικῶν ἀπορρίπτουσιν, ἀλλὰ καὶ πολλοὶ παραδέχονται ἤδη τὴν ἀνταλλαγὴν τῶν ἰδεῶν μεταξὺ Ἀποστόλου Παύλου καὶ Σενέκα, ὡς ὁ Schoell (Histoire de la Lit. rom. T. II, p. 448), ὁ Durosoir (loc. cit.), ὁ Gelpke (Tractatiuncula de familiaritate que Paulo Apostolo cum Seneca philosopho intercessisse traditur verissimiblina, Zips 1831), ὁ De Maistre (Ἑσπεριναὶ συνδιαλέξεις ἐν Πετρουπόλει, T. II, p. 187), ὁ Charles Aubertin, p. 429—444), ὁ Fleury (T. II, p. 300), ὁ Boissier (le Christianisme de Sénèque. Revue des Deux Mondes, Mars 1871, p. 40—71).

γ) Schreiter σφάλλεται, νομίζω, λέγων ὅτι τῷ Πλουτάρχῳ ἦν ἄγνωστον τὸ ὄνομα τῶν Χριστιανῶν. Μηδὲν δὲ πλεῖον ἐνδιατρίβων ἐπὶ τοῦ θέματος τούτου, ἀλλὰ παρατρέχων αὐτὸ ἀγαπᾷ μόνον τῇ φράσει τῇδε· Ceterum illud simul monemus, nomen Christianum ignotum Plutarcho fuisse, quanquam Judaeorum superstitionem saepius notavit, ideoque causam eius, quam defendit, aliam plane esse atque Platonicorum posteriorum, qui recentes appellantur. (De doctrina Plutarchi et theologica et morali, in d. Zeitschrift für historische Theologie von Fr. Illgen, 6. Band, S. 2.)

μοσε διὰ τοῦ νοῦ ἢ τῆς θείας τοῦ κόσμου ψυχῆς κατὰ τὸ παράμεν, ὥστε οὐδὲν ἐν αὐτῇ δύνασθαι ἄνευ τῆς γνώσεως τοῦ Πλουτάρχου γενέσθαι. Ὁ Πλούταρχος βεβαίως ἔχων ὑπὸ τὴν διοίκησιν αὐτοῦ μίαν εὐρεῖαν καὶ μεγάλην χώραν, οἵα ἦν τότε ἡ Ἰλλυρίς, ἔπραττε ὅ, τι καὶ σήμερον πᾶς βασιλεὺς ἢ πρωθυπουργός κράτους τινός ἐκδιδοὺς διατάγματα ἀποστέλλει ταῦτα τοῖς νομάρχαις καὶ ἐπάρχοις, ἵνα οὗτοι ταῦτα τοῖς ὑπ' αὐτοὺς λαοῖς γνωρίσωσιν. Ἐγὼ τοὐλάχιστον ἐκ πάντων τούτων ἀδιστάκτως πέποιθα ὅτι τοῦ Εὐαγγελίου αἱ ἰδέαι ἔφθασαν ἄχρι τοῖς ὡσὶ τοῦ Πλουτάρχου. Ἀλ' ὅ ὁ Χριστιανισμὸς ἄνευ Χριστοῦ ἐστιν αὐτὴ περίπου ἡ τοῦ Πλουτάρχου πίστις, μόνον δὲ ἕτεραι παρ' ἑτέροις κατὰ νόμους γεγόνασι τῆς θεότητος τιμαὶ καὶ προσηγορίαι α). Ἀλλ' ὁ πολυμαθέστατος καὶ πολυγραφότατος οὗτος συγγραφεὺς οὐκ ἐδύνατό τι περὶ τῆς χριστιανικῆς θρησκείας γράψαι· καὶ γὰρ δυοῖν θάτερον ἢ ἀπολέσειεν ἂν τὴν ὑψηλὴν αὐτοῦ θέσιν ἢ λυπήσειε σφόδρα τὸν μαθητὴν αὐτοῦ Τραϊανόν, ὃς τοσοῦτον ἠγάπα καὶ τοσοῦτον ἐσέβετο τὸν διδάσκαλον αὐτοῦ, ὥστε καὶ ἐν φιλικῇ πρὸς αὐτὸν ἀλληλογραφίᾳ διατελεῖν β). Οὐκ ἐδύνατο λοιπὸν ἄλλως πρᾶξαι ἢ σιωπῆσαι τοῦτο γ), ἵνα μὴ λυπήσῃ τὸν μαθητὴν καὶ φίλον αὐτοῦ· ὡς πολιτικὸν γὰρ ἄνδρα καλῶς τὸ σκάφος τῆς Ἰλλυρίδος κυβερνῶντα ἔδει ἐν ὁμονοίᾳ καὶ ἀγάπῃ μετὰ τοῦ ἀνωτάτου αὐτοῦ κυβερνήτου διάκεισθαι, ἅτε καὶ αὐτὸς οὗτος διδάσκων ἡμᾶς τοῦτο ἐν τῷ περισπουδάστῳ αὐτοῦ ἔργῳ τῶν „Πολιτικῶν Παραγγελμάτων". Ἴσως ὅμως πάλιν ὡς ἔφθημεν εἰπόντες χριστιανικαί τινες αὐτοῦ ἰδέαι περιλαμβάνοιντο ἐν τοῖς ἀπολεσθεῖσιν αὐτοῦ συγγράμμασιν.

Πρὸς τρανοτάτην ἔτι ἀπόδειξιν ὅτι ὁ Πλούταρχος οὐκ ἔμεινεν ἀνέπαφος καὶ ἀδαὴς τῶν εὐαγγελικῶν ῥητῶν ἐδυνάμεθα προσενεγκεῖν πλεῖστα ὅσα συλλεγέντα χωρία ἐκ τῶν σωθέντων αὐτοῦ ἔργων, ἅτινα ἄλλως πως ἐκπεφρασμένα εἰσὶ περίπου τὰ αὐτὰ πλείστοις τοῦ Εὐαγγελίου ῥήμασιν, οὐ μὴν ἀλλὰ καὶ τῆς παλαιᾶς Διαθήκης. Τοιαύτην ὁμοιότητα ὁρᾷ τις καθ' ὅλου μὲν ἐν τοῖς δόγμασι τῆς χριστιανικῆς πίστεως, ἰδιώτερον δὲ ἐν τοῖς δόγμασι τῆς ἀνατολικῆς ὀρθοδόξου ἐκκλησίας, εἰ καὶ τὸ ἔργον αὐτοῦ „περὶ τῶν ὑπὸ τοῦ θείου βραδέως τιμωρουμένων" ἀναγνοίει. Πλὴν τούτων δὲ οὐ μόνον τὸ Εὐαγγέλιον, ἀλλὰ καὶ ὁ Πλούταρχος διδάσκει ἡμᾶς αἱρεῖσθαι ἀπάρνησίν τινα (Entsagung)

α) Πλουτ. περὶ Ἴσ. καὶ Ὀσ. κεφ. 67. Πρβλ. καὶ Zeller, Geschichte der Philosophie der Griechen, 3. Aufl., II. Abt., S. 197 καὶ Hausrath (Neutestamentliche Zeitgeschichte, Teil 3, S. 496) λέγοντα· „Das Christentum ohne Christus ist ungefähr der Glaube des Plutarch, nur dafs dieselben Vorstellungen hier und dort verschiedene Namen tragen."

β) Ἔπιθι τὴν πρὸς τὸν Τραϊανὸν ἐπιστολὴν τοῦ Πλουτάρχου εἰς τὰ Fragmenta αὐτοῦ. (Duebner, T. 5, p. 59.)

γ) Il ne parle jamais de la religion Chrétienne, n'osant peut-être en dire du bien et ne voulant pas en dire du mal, comme S. Augustin le dit de Sénèque. Mais Theodoret croit qu'il a eu quelque connaissance de l'Evangile; etc. (Tillemont, Histoire des Empereurs, T. 2, p. 477.)

δειγμα τῶν ἰδεῶν [1]) *τὸ κάλλιστον ἀπεργασάμενος καὶ τελειότατον ἐξ αὐτῶν ζῷον. Οὕτω δὲ διαθεσμοθετήσας ὁ Θεὸς πάντα αὐτοῖς, ἵνα τοῖς ἔπειτα εἴη κακίας ἑκάστων ἀναίτιος, ἔσπειρε τοὺς μὲν εἰς τὴν γῆν, τοὺς δ᾽ εἰς τὴν σελήνην, τοὺς δ᾽ εἰς τὰ ἄλλα ὄργανα χρόνου. Τὸ δὲ μετὰ τὸν σπόρον τοῖς νέοις παρέδωκε θεοῖς σώματα πλάττειν θνητά, τὸ τ᾽ ἐπίλοιπον, ὅσον ἐστὶ ψυχῆς ἀνθρωπίνης δέον προσγενέσθαι, τοῦτο καὶ πάντα, ὅσα ἀκόλουθα ἐκεί-*

τοῦ κόσμου λέγων· „ἀπροσδεὴς μὲν γὰρ ἁπλῶς ὁ Θεός, ἀνθρωπίνης δ᾽ ἀρετῆς, ᾧ συνάγεται πρὸς τὸ ἐλάχιστον ἡ χρεία, τοῦτο τελειότατον καὶ θεῖον“ α). Ὡς δὲ τέλος αἱ μαρτυρίαι τῆς χριστιανικῆς θρησκείας ἐκ τῆς παλαιᾶς διαθήκης πεπλήρωνται καὶ ὡς οἱ πατέρες τῆς ἐκκλησίας (Kirchenväter) *ὑπὸ τῶν Ἑλλήνων καὶ Λατίνων συγγραφέων ἐβοηθήθησαν, ἵνα τὴν ἀλήθειαν τῶν ἀξιωμάτων αὐτῶν εὕρωσιν, οὕτως ἐπ᾽ ἴσης καὶ ὁ Πλούταρχος ζητεῖ ἐν τῷ Ὁμήρῳ καὶ ταῖς συγγραφαῖς τῶν ἄλλων φιλοσόφων καὶ ταῖς μαρτυρίαις τῶν ἄλλων θρησκειῶν παραπλησίας θεωρίας εὑρεῖν καὶ χρησιμοποιῆσαι ὡς αὐτὸς ἐνδομύχως πεπίστευκε. Τοιοῦτος οὖν ὢν ὁ Πλούταρχος καὶ τοιαύτας χριστιανικὰς ἰδέας ἐν τοῖς συγγράμμασιν αὐτοῦ περιέχων καθίσταται μᾶλλον εὐνόητος καὶ προσιτὸς ἐκείνοις μόνον, οἳ ἐπ᾽ ἴσης ἀκριβῶς τοὺς Χριστιανοὺς συγγραφεῖς γινώσκουσι καὶ τοὐναντίον οἱ γινώσκοντες τὸν Πλούταρχον ῥᾴδιον κατανοοῦσι τὸ Εὐαγγέλιον.*

1) *Περὶ ἰδεῶν ἔπιθι καὶ Πλάτ. Πολιτ.* V, 477 B. *Τιμ.* 51, B. *Καλεῖ δὲ ὁ Πλάτων τὰς ἰδέας καὶ οὐσίας* (*Φαῖδρ.* 247, C. *Κρατ.* 386, D. *Φαιδ.* 78, D. *Παρμ.* 135, A), *ἀΐδιον οὐσίαν* (*Τίμ.* 37, E), *ἀεὶ ὄν* (*αὐτόθ.* 27, D) *ὄντως ὄν, ὄντως ὄντα* (*Φαῖδρ.* 247, C. E. *Πολιτ.* X, 597, D), *παντελῶς ὄν* (*Σοφιστ.* 248, E. *Πολιτ.* V, 477, A), *κατὰ ταὐτὰ ὄν, ὡσαύτως ὄν ἢ ἔχον* (*Τιμ.* 35, A. 38, A. *Φαίδ.* 78, D. *Σοφιστ.* 248, B), *αὐτὸ ὅ ἔστι* (*Φαῖδρ.* 247, D. *Θεαίτ.* 175, C. *Κρατ.* 389, D. *Σοφ.* 225, C. *Παρμ.* 130, B. 133, D. *Φαίδ.* 65, D. 78, D. 100, C. *Φιληβ.* 62, A. *Πολιτ.* VI, 507, B. 493, E.) *ἢ ὡς ἓν ἢ ἑνάδας καὶ μονάδας* (*Παρμ.* 132, C. *Φιληβ.* 15, A). *Καὶ Ἀριστοτέλους, ἐναντίον μάλιστα ἐν πολλοῖς τῆς πλατωνικῆς περὶ ἰδεῶν διδασκαλίας.* (*Μετὰ τὰ Φυσικὰ* I, 9. III, 2. 5. 8. VII, 16. XIII, 4. XIV. *Ἀναλυτ πρότ.* I, 11. *Ἠθικ. Νικομ.* I, 4. 34. *Ἠθικ. Εὐδήμ.* I, 8. 10). *Γαληνοῦ περὶ φιλοσόφου ἱστορίας κ. στ᾽. Πρβλ.* καὶ Zeller *ἐν οἰκείῳ τόπῳ.* Ueberweg, Geschichte der Philosophie, 7. Aufl., 1. Band, S. 140 *κέξ.* 191 *κέξ.* Trendelenburg, Historische Beiträge zur Philosophie, 2. Band, S. 149 „Notwendigkeit und Freiheit in der Griechischen Philosophie“. Müller, Geschichte der Theorie der Kunst bei den Alten. 1. Band S. 58 *κέξ. καὶ* 2. Band, S. 84 *κέξ.*

α) Πλουτ. Ἀριστείδ. καὶ Κάτωνος συγκρ. 4. *Πρβλ. καὶ Ξενοφῶντος Ἀπομν* I, 6. 10. *„Νομίζω μὲν τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλάχιστον ἐγγυτάτω τοῦ θείου.*

νοις, ἀπεργασαμένους ἄρχειν καὶ κατὰ δύναμιν ὅτι κάλλιστα καὶ ἄριστα τὸ θνητὸν διακυβερνᾶν ζῷον, ὅ τι μὴ κακῶν αὐτὸ αὑτῷ γίνοιτο αἴτιον. Ὅθεν ὁ δημιουργὸς Θεός, ἅτε ἀθάνατος ὤν, μόνον τὸν νοῦν τοῦ ἀνθρώπου ἐποίησεν ἀθάνατον, ὃν παρέδωκε τοῖς ὁρατοῖς καὶ οὐρανίοις θεοῖς εἰς τὴν ὑπ᾽ αὐτῶν δημιουργίαν τῶν θνητῶν σωμάτων καὶ λοιπῶν τῆς ψυχῆς μερῶν. Εἰ δ᾽ αὐτὸς ὁ Θεὸς καὶ τὸ σῶμα τοῦ ἀνθρώπου καὶ τὸ ἄλογον τῆς ψυχῆς αὐτοῦ μέρος πλάττοι, τότε καὶ ταῦτα ὡς ὑπ᾽ ἀθανάτου χειρὸς δημιουργηθέντα ἀθάνατα εἶησαν [1]). Ἀλλ᾽ ἔστησεν ὅμως μεταξὺ Θεῶν καὶ ἀνθρώπων τοὺς δαίμονας [2]), ἔνθεν μὲν ὡς λειτουργοὺς τῶν θεῶν ὥσπερ ὑπηρέτας καὶ γραμματεῖς καὶ ἐπισκόπους αὐτῶν καὶ ἱερῶν καὶ μυστηρίων ὀργιαστάς, ἔνθεν δὲ ὡς φύλακας καὶ ἐπισκόπους τῶν ἀνθρωπίνων πράξεων.

Ὁ ἄνθρωπος λοιπὸν ὢν οὐράνιον φυτὸν ὥσπερ ἐκ ῥίζης ἄνω τῆς κεφαλῆς ὀρθούμενος ἐκ σώματος καὶ ψυχῆς συνέστηκεν· ἀλλὰ

1) *Τῇ θειοτέρᾳ φύσει συγγενὴς ἡ ψυχὴ καὶ τῇ ἀϊδίῳ* (*Πλωτ. Ἐνεάς* IV *καὶ* VII, 10). *Ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχή, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων, τοῦ θείου μετέχει* (*Ξενοφ. Ἀπομν.* IV, 3. 13). *Πρβλ. καὶ Φιλοστράτ. βίον Ἀπολλωνίου τοῦ Τυανέως* VIII, 7.

2) *Πολλαχοῦ περὶ Δαιμόνων ποιεῖται ὁ Πλούταρχος λόγον. Οὕτω περὶ Ἴσ. Ὄσ.* 25. 26. *Ἐκλ. Χρ.* 10. 13. 14. 15. 16. 17. 21. 39. 48. *Προσ. Σελήνης* 30. *Εἱμαρμ. Θ. Δαιμόν. Σωκρ.* 16. 24. *Συμπ. Προβλ. Γ*, ζ, 1. *Η*, α, 3. *Θ*, ε, 2. *Ἐρωτικός* 14. 15. *Περὶ τυχ. Ῥωμ.* 11. *Πρὸς Κολώτην* 30. *Λίων* 2. 54. *Βροῦτος* 36. 40. 48. *Καῖσαρ* 69. *Ῥωμύλος* 28. *Κάτων* 54. *Ἀλέξανδρος* 50. *Περὶ τυχ. Ἀλεξ.* I, 8. *Φωκίων* 30. *Γάλβας* 10. *Φάβιος* 17. *Περικλ.* 34. *Σύλλας* 4. 28. *Νομᾶς* 4. 8. *Λίωνος καὶ Βρούτου συγκρ.* 2. *καὶ ἀλλαχοῦ. Πρβλ. καὶ Πλάτ. Πολιτ.* IV, 428, B. *Νόμ.* IV, 717, A. VII, 799, A. VIII, 834. 848. *Συμπ.* 178. 202, E. 203, A. *Φαίδ.* 107, D. *Τίμ.* 89. 90. *Πυθαγ. παρὰ Διογ. Λαερτ. Η*, 21. 32. 36. *Πλωτ. Ἐνεάς* III, 14, 4, 3. *Ξενοφ. Ἀπομν.* I, 1. 2. 17. 19. *Ἀναβ.* III, 1. 2, 2. V, 6. 9. 10. V, 2. 3. 4. *Μαξιμ. Τυρ.* XIV, *Διατριβ.* 14, 15. *Ἀπουλ. Μεταμ.* IX, 4. *Πολυδ. Ὀνομ.* V, 26. 131. *Ἡροδ.* I, 167. VI, 69. *Πινδαρ. Ὀλυμπ.* XIII, 105. *Πυθ.* III, 109. IV, 167. V, 115. *Ἰσθμ.* IV, 12. *Αἰσχυλ. Περσ.* 351. *Σοφοκλ. Οἰδ. Κολ.* 788. *Παυσαν.* I, 30. II, 12, 5. III, 13, 5. IV, 3, 6. VI, 6, 4. 20. *Θεογν.* 499. *Διοδ. Σικελ.* IV, 80. *Σεξτ. Ἐμπειρ. Φυσ.* I, 552. VII, 127. *Ἡσιοδ. Ἔργα καὶ Ἡμ.* 120. 127. 139. 143. 155. 168. 250. Cicero de universo 11. pro Cluent. 5. de div. 25. 54. Plin. II, 7. XXX, 70. Erot. epist. II, 2. 87. Virgil. Aen. VI, 743. Seneca ep. 110. Augustin de civ. Dei VIII, 14. IX, 71. *Ὁ δ᾽ Ὅμηρος τέλος πολλαχοῦ καὶ πολλάκις ποιεῖται μνείαν τῶν δαιμόνων καὶ τῶν ἰδιοτήτων αὐτῶν. Πρβλ. καὶ* Naegelsbach-Autenrieth, Homerische Theologie S. 69. 117.

νοῦς ψυχῆς, ὅσῳ ψυχὴ σώματος ἀμεινόν ἐστι καὶ θειότερον. Τριῶν δὲ τούτων συμπαγέντων, τὸ μὲν σῶμα ἡ γῆ, τὴν δὲ ψυχὴν ἡ σελήνη, τὸν δὲ νοῦν ὁ ἥλιος παρέσχεν εἰς τὴν γένεσιν. Τυπουμένη ἄρα ἡ ψυχὴ ὑπὸ τοῦ νοῦ, τυποῦσα δὲ τὸ σῶμα καὶ περιπτύσσουσα πανταχόθεν ἐκμάττεται τὸ εἶδος· ὥστε κἂν πολὺν χρόνον χωρὶς ἑκατέρου γένηται διατηροῦσα τὴν ὁμοιότητα καὶ τὸν τύπον εἴδωλον ὀρθῶς ὀνομάζεται. Ἡ ψυχὴ τοίνυν τοῦ ἀνθρώπου μέρος ἢ τμῆμα τῆς τοῦ παντὸς οὖσα καὶ συνηρμοσμένη κατὰ λόγους καὶ ἀριθμοὺς ἐοικότας ἐκείνοις, οὐχ ἁπλῆ τις ἐστιν, οὐδὲ ὁμοιοπαθής, ἀλλ᾽ ἕτερον μὲν ἔχει τὸ νοερὸν καὶ λογιστικόν, ᾧ κρατεῖν τοῦ ἀνθρώπου κατὰ φύσιν καὶ ἄρχειν προσῆκόν ἐστιν· ἕτερον δὲ τὸ παθητικὸν καὶ ἄλογον καὶ πολυπλανὲς καὶ ἄτακτον ἐξ ἑαυτοῦ ἐπιστασίας δεόμενον. Προσείληφε δὲ ἡ ψυχὴ τοῦ ἀνθρώπου ἐκ τοῦ βελτίονος μέρους τῆς ψυχῆς τοῦ κόσμου τὸν νοῦν καὶ τὰς ἐλευθέρας βουλήσεις [1]), ἐκ δὲ τοῦ χείρονος τὴν ἄλογον ὁρμὴν καὶ τὴν ἡδυπάθειαν. Οὕτω δὲ ἐπὶ τῆς ψυχῆς τοῦ ἀνθρώπου, ὡς καὶ ἐν τῷ κόσμῳ, δύο δυνάμεις ἀντίθετοι δεσπόζουσιν, ἡ καὶ ἐπικρατοῦσα βελτίων ἢ τὸ λογικὸν καὶ ἡ χείρων ἢ τὸ ἄλογον καὶ παθητικόν· ὧν δὲ ἡ τελευταία οὐδέποτε ἀφανισθῆναι δύναται ἐκ τῆς ψυχῆς τοῦ ἀνθρώπου, ὡς καὶ ἐκ τοῦ σώματος τοῦ κόσμου.

Ἀλλὰ, καθὰ καὶ παρὰ Πλάτωνι εἴρηται, δύο εἴδη ἐστὶ τῶν ὄντων, τὸ μὲν αἰσθητόν, ὃ τις κἂν ἅψαιτο, κἂν ἴδοι, κἂν ταῖς

1) *Δυνάμει τῆς ἐλευθέρας βουλήσεως* (Willensfreiheit) *ὁ ἄνθρωπός ἐστιν ἐλεύθερος, ἀλλὰ σύναμα καὶ ὑπεύθυνος ταῖς πράξεσιν αὐτοῦ. Κατὰ δ᾽ Ἀπελτον ἡ ἔννοια τῆς ἐλευθερίας καθ᾽ ὅλου τετραπλῆ τὴν σημασίαν ἐστί. Διακριτέον οὖν* 1) *τὴν μεταφυσικὴν ἢ ὑπὲρ αἴσθησιν* 2) *τὴν ψυχολογικήν* 3) *τὴν ἀστικὴν καὶ* 4) *τὴν προσωπικὴν ἐλευθερίαν. Ἐν τῇ ἰδέᾳ τῆς ἐλευθερίας κεῖται κατὰ πρῶτον ἡ ἔννοια τῆς ἔκ τινος αὐτονομίας* (*ἀνεξαρτησίας*). *Μεταφυσικὴ ἐλευθερία ἐστὶν ἀνεξαρτησία ἐκ φυσικῶν νόμων καθ᾽ ὅλου, ψυχολογικὴ ἐλευθερία ἡ ἀνεξαρτησία ἐξ ἐξωτερικῶν φυσικῶν νόμων, ἐκ τῆς μηχανικῆς δῆλον ὅτι τοῦ σώματος, ἀστικὴ ἐλευθερία ἐστὶν ἀνεξαρτησία τοῦ λαοῦ ἐκ τῆς αὐθερεσίας τῆς κυβερνήσεως, προσωπικὴ δὲ τέλος ἐλευθερία ἀνεξαρτησία ἑκάστου πολίτου ἐκ τῆς αὐθαιρεσίας τοῦ ἄλλου. Ἡ ἔννοια τῆς Μεταφυσικῆς ἐλευθερίας ἐστὶν ἐντεῦθεν τοῦτο μὲν μεταλλαγαὶ ὡρισμέναι, τοῦτο δὲ κέκτηται αὕτη ἔτι ἰδιάζοντα κωλύματα, ἅπερ ἐκ τῆς ἀρνητικῆς κυρίας πηγῆς τῶν τοῦ ἀπολύτου ἰδεῶν προέρχονται.* (Apelt, Metaphysik, S. 329. *Πρβλ. καὶ* Flügel, G., Die Probleme der Philosophie und ihre Lösungen, S. 222 ff. Ahrens, Philosophie des Rechts und des Staates, 2. Band, S. 55 ff.)

ἄλλαις αἰσθήσεσιν αἴσθοιτο, τὸ δὲ νοητόν, ὃ οὐκ ἔστιν ὅτῳ ποτ' ἂν ἄλλῳ ἐπιλάβοιτό τις, ἢ τῷ τῆς διανοίας λογισμῷ· καὶ τὰ μὲν νοητὰ καὶ ἀειδῆ, ἀεὶ κατὰ ταὐτὰ καὶ ὡσαύτως ἔχοντα, εἰκὸς εἶναι ἀσύνθετα, τὰ δ' αἰσθητά, ἄλλοτε ἄλλως καὶ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, σύνθετα· καὶ τοῖς μὲν συνθέτοις προσήκει διαιρεθῆναι ταύτῃ, ᾗπερ συνετέθη, τοῖς δὲ ἀσυνθέτοις ἐσαεὶ ἀναλλοιώτοις παραμένειν [1]). Τούτων δὴ ὑποκειμένων, τὸ ἡμέτερον αὐτῶν ἐπισκεψώμεθα καὶ εὑρήσομεν τὸ μὲν σῶμα ὄν, τὸ δὲ ψυχήν· καὶ τὸ μὲν σῶμά ἐστιν αἰσθητὸν καὶ τὴν τοῦ αἰσθητοῦ μοῖραν εἰληχός, ἀεὶ ῥέον καὶ ἀλλοιούμενον, ἡ δὲ ψυχὴ ἀειδὲς καὶ ἀσώματον καὶ νοητόν, ὡς ἁπλοῦν καὶ εἰλικρινὲς καὶ καθαρὸν ἁπάσης στερρότητος καὶ διαφορᾶς. Ἔτι δὲ τῷ μὲν σώματι δουλεύειν προσήκει, τῇ δὲ ψυχῇ ἄρχειν· καὶ ὅταν μὲν ἡ ψυχὴ τῷ σώματι προσχρῆται εἰς τὸ σκοπεῖν τι ταῖς αἰσθήσεσιν αὐτοῦ, ἢ ταῖς ἐπιθυμίαις αὐτοῦ χαρίζηται, τότε ἕλκεται ὑπ' αὐτοῦ εἰς τὰ αὐτῷ συγγενῆ, τὰ οὐδέποτε κατὰ ταὐτὰ ἔχοντα, καὶ αὐτὴ ταράσσεται καὶ ἰλιγγιᾷ, ὥσπερ μεθύουσα, ἅτε τοιούτων ἐφαπτομένη· ὅταν δ' αὖ καθ' ἑαυτὴν γίγνηται, ἐκεῖσε οἴχεται εἰς τὸ καθαρόν τε καὶ ἀεὶ ὂν καὶ ἀθάνατον καὶ μέχρι τῶν θείων ἐξικνεῖται καὶ πέπαυται τοῦ πλάνου, καὶ περὶ ἐκεῖνα ἀεὶ κατὰ ταὐτὰ ὡσαύτως ἔχει, ἅτε τοιούτων ἐφαπτομένη. Ἐκ δὴ τούτων συμβαίνει τῷ μὲν θείῳ καὶ ἀθανάτῳ καὶ νοητῷ καὶ μονοειδεῖ καὶ ἀδιαλύτῳ καὶ ἀεὶ ὡσαύτως κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι ψυχή, τῷ δὲ ἀνθρωπίνῳ καὶ θνητῷ καὶ ἀνοήτῳ καὶ πολυειδεῖ καὶ διαλυτῷ καὶ μηδέποτε κατὰ ταὐτὰ ἔχοντι ἑαυτῷ ὁμοιότατον εἶναι σῶμα.

Τοιαύτην οὖν φύσιν ἔχουσα ἡ ψυχὴ ἀθάνατός ἐστι καὶ αὐτὴ καὶ ἀΐδιος, πρό τε τῆς τοῦ σώματος γενέσεως αὐτὴ οὖσα καὶ φθειρομένου τούτου αὐτὴ παραμένουσα (Praeexistenz und Postexistenz der Seele) [2]). Ὡς γὰρ τῷ λογικῷ τὸ ἄλογον, καὶ τὸ

1) Ἐπιθ. Πλουτ. Πλατ. Ζητ. Γ, 2. Η, 4. Ἰσ. Ὄσ. 54. Πλάτ. Φαίδ. 78, C bis 79, A. 83, B.

2) Ἡ φύσις τῆς ψυχῆς, τὸ ἐγώ, ἐστί τό ἄϋλον ὑποκείμενον τοῦ αὐτοσυνειδότος. ἁπλῆ οὐσία, συνθετικὴ κρίσις ἐκ τῶν προτέρων α) (a priori). Ἐντεῦ-

α) Περὶ τοῦ ἐγὼ ἀπολύτως, μηδαμῶς τῆς ἐμπειρίας ὑπ' ὄψει λαμβανομένης, ἀσχολεῖται ἰδίᾳ ἡ λογικὴ (rationale) Ψυχολογία, ἅτε τῆς ἐμπειρικῆς (empirische) Ψυχολογίας πραγματευομένης ἐκ τῶν ὑστέρων (a posteriori).

ἄψυχον ὡς ἄλογον καὶ ἀνόητον ἀντίκειται τῷ μετὰ ψυχῆς λόγον ἔχοντι καὶ διάνοιαν, τῷ ἐμψύχῳ, καὶ ὥσπερ ἐν τῇ ἐμψύχῳ φύσει ἀντίκειται τῷ αἰσθητικῷ τὸ ἀναίσθητον καὶ τῷ φανταστικῷ τὸ ἀφαντασίωτον, οὕτως ὡσαύτως ἀνθυπάρχουσι καὶ ἀντίκεινται τῷ θνητῷ τὸ ἀθάνατον καὶ τῷ φθαρτῷ τὸ ἄφθαρτον καὶ σώματί γε τὸ ἀσώματον. Ποῦ δὴ ἦν ἡ ψυχὴ πρὶν ἐν τῷδε τῷ ἀνθρωπίνῳ εἴδει γενέσθαι καὶ ποῖ ἄπεισι χωριζομένη αὐτοῦ; Παρὰ τῷ ἑαυτῆς ἦν συγγενεῖ, τῷ θείῳ, καὶ παρ᾽ ἐκείνῳ πάλιν προσήκει μετὰ τὸν χωρισμὸν ἐπανιέναι. Δι᾽ ὃ ἀνθρώπων ψυχαῖς ἐνταυθοῖ μὲν ἀπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἐστι μετουσία τοῦ Θεοῦ, πλὴν ὅσον ὀνείρατος ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας· ὅταν δ᾽ ἀπολυθεῖσαι μεταστῶσιν εἰς τὸ ἀειδὲς καὶ ἀόρατον καὶ ἀπαθὲς καὶ ἀγνόν, οὗτος αὐταῖς ἡγεμών ἐστι καὶ βασιλεὺς ὁ Θεός, ἐξηρτημέναις ὡς ἂν ἀπ᾽ αὐτοῦ καὶ θεωμέναις ἁπλήστως καὶ ποθούσαις τὸ μὴ φατὸν μηδὲ ῥητὸν ἀνθρώποις κάλλος. Πᾶσαν γὰρ ψυχὴν ἄνουν τε καὶ σὺν νῷ σώματος ἐκπεσοῦσαν, εἱμαρμένον ἐστὶ τῷ μεταξὺ γῆς καὶ σελήνης χωρίῳ πλανηθῆναι χρόνον οὐκ ἴσον· ἀλλ᾽ αἱ μὲν ἄδικοι καὶ ἀκόλαστοι δίκας τῶν ἀδικημάτων τίνουσι· τὰς δ᾽ ἐπιεικεῖς, ὅσον ἀφαγνεῦσαι καὶ ἀποπνεῦσαι τοὺς ἀπὸ τοῦ σώματος ὥσπερ ἀτμοῦ πονηροῦ, μιασμοὺς ἐν τῷ πρατάτῳ τοῦ ἀέρος, ὃν λειμῶνας ᾅδου καλοῦσι, δεῖ γίνεσθαι χρόνον τινὰ τεταγμένον· αἱ γὰρ ψυχαὶ εἰς τὰ προσήκοντα ὀργανικὰ σώματα ἐν χρόνῳ κατεσπάρησαν. Εἶτα δὲ οἷον ἐξ ἀποδημίας ἀνακομιζόμεναι φυγαδικῆς εἰς πατρίδα γεύονται χαρᾶς, οἵαν οἱ τελούμενοι μάλιστα θορύβῳ καὶ πτοήσει συγκεκραμένῃ μετ᾽ ἐλπίδος ἰδίας ἔχουσιν [1]). Ἀείποτε δὲ γεννῶνται αἱ ψυχαὶ καθ᾽ ἁρμονίαν καὶ

θεν τέσσαρες κρίσεις προκύπτουσιν ἐκ τῶν ἰδεῶν τοῦ ἀπολύτου· 1) κατὰ ποσότητα: ἡ ψυχή ἐστιν ἓν ἄτομον (μονοειδές ὄν)· 2) κατὰ ποιότητα: ἡ ψυχή ἐστιν ἁπλῆ· 3) κατ᾽ ἀναφοράν: ἡ ψυχὴ ὑφίσταται ὡς ἀπόλυτον ὄν· 4) κατὰ τρόπον: ἡ ψυχή ἐστιν αἰωνία. Ἀτομικότης λοιπόν, ἁπλότης, ὑπόστασις καὶ αἰωνιότης ἀνήκουσι μόνον τῷ τῆς ψυχῆς ὄντι κατὰ τὰ τέτταρα τῶν κατηγοριῶν (Kategorieen) εἴδη. Ἀλλ᾽ ἡ αἰωνιότης αὕτη ἐστὶν ἡ τῆς ψυχῆς ἀθανασία· ἡ δὲ ψυχὴ μετὰ θάνατον κατὰ τὴν ἐπικρατεστέραν τῆς ἄλλης δόξαν μεταβαίνει εἰς τὸν χῶρον τῆς εὐδαιμονίας καὶ ἐκεῖ μέχρι τῆς μελλούσης ζωῆς παραμένει α).

1) Ἡ ἰδέα τῆς μετὰ θάνατον ζωῆς καὶ ἀνταποδόσεως εὑρίσκεται καὶ παρ᾽ ἄλλοις Ἕλλησι συγγραφεῦσιν. Οὕτω πλὴν τοῦ Πλάτωνος ἐν Μένωνι, Φαίδωνι.

α) Apelt, Metaphysik, S. 324.

συναρμόττονται τοῖς σώμασιν, ἀπαλλαγεῖσαι δὲ συμφέρονται πανταχόθεν εἰς τὸν ἀέρα [1])· *κἀκεῖθεν αὖθις ἐπὶ τὰς δευτέρας γενέσεις τρέπονται* [2]). *Καὶ ἐκεῖ μὲν οὖσαι πρότερον ἐθεώρουν τὰ ὄντα ὄντως καὶ ἔγνων αὐτὰ καὶ ἐτρέφοντο ἐπιστήμῃ ἀκηράτῳ καὶ ἡδυπαθεῖ· ἐλθοῦσαι δ' ἐνθάδε καὶ συγκαθειρχθεῖσαι τῷ φθαρτῷ σώματι λήθην ἔσχον ἐκείνων, ὁρῶσαι δὲ τὰ τῇδε εἴδωλα ὄντα*

Ἀπολογίᾳ καὶ πολλαχοῦ καὶ παρ' Αἰσχύλῳ (*Εὐμεν.* 273), *Πινδάρῳ* (*Ὀλυμπ.* II, 102—148) *καὶ ἄλλοις.*

1) *Αἱ ψυχαὶ διαμένουσιν εἰς τὸν ἀέρα, ἵνα τοῦ θείου βίου μετάσχωσι καὶ τὸ τῆς ἀληθείας πεδίον ἴδωσιν. ἡ γὰρ ἀρίστη τροφὴ τῆς ψυχῆς ἐκ τούτου ἐστὶ τοῦ λειμῶνος. Ἐκ τῶν φανταστικῶν τούτων εἰκόνων δύναταί τις μόνον ἐξαγαγεῖν, ὅτι ἡ τῆς ψυχῆς οὐσία συγγενὴς ταῖς ἰδέαις οὖσα ἀείποτε τείνει εἰς τὴν μετ' αὐτῶν κοινωνίαν, ἐν ᾗ καὶ μόνῃ ὁ ἀληθὴς αὐτῆς βίος ἔνι. Ἐκ τῆς παραστάσεως ταύτης ἡ πολυθρύλητος παρῆκται διδασκαλία, ἡ ἐν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας γνωστὴ τῷ τῶν ἐμφύτων* (angeboren) *ἰδεῶν ὀνόματι, καὶ ἐν μὲν τοῖς ἀρχαίοις χρόνοις ὑπὸ τοῦ Πλάτωνος τὸ κατ' ἀρχὰς μορφωθεῖσα, ὑπὸ δὲ τοῦ Ἀριστοτέλους ἔπειτα ἐν πολλοῖς κατακριθεῖσα· ἐν δὲ τοῖς νεωτέροις χρόνοις τὸ μὲν πρῶτον ὑπὸ τοῦ* Des Cartes (Cartesius) *αὖθις μορφωθεῖσα, ὑπὸ τοῦ* Leibnitz *δὲ τροποποιηθεῖσα, ὑπὸ τοῦ* Locke *καταπολεμηθεῖσα, ὑπὸ δὲ τοῦ* Kant *ἀναμορφωθεῖσα καὶ ὑπὸ τῶν ἰδεαλιστῶν τέλος* Fichte, Schelling *καὶ* Hegel α) *ἐνισχυθεῖσα, ἀλλ' ὑπὸ τοῦ* Herbart β) *παντελῶς ἀπορριφθεῖσα.*

2) *Ἐντεῦθεν ἀρίδηλον καθίσταται ὅτι ὁ Πλούταρχος ἐπίστευε τῇ μετεμψυχώσει, ἣν παρὰ Πυθαγόρᾳ παρέλαβεν. Οὗτος δὲ πάλιν προσείληφεν αὐτὴν ἐκ τῶν ὀρφικῶν μυστηρίων καὶ ἐδόξαζεν ὅτι μετὰ τὸ τέλος τοῦ μεγάλου ἐνιαυτοῦ, ἐκ χιλίων ἐτῶν συμποσουμένου, ἐπαναληφθήσεται ἡ προτέρα τοῦ κόσμου πορεία ἀκριβέστατα μέχρι καὶ τῶν σμικροτάτων λεπτομερειῶν.*

α) *Ἡ φιλοσοφία τοῦ* Fichte, Schelling *καὶ* Hegel *ἐστὶν ὑπὲρ αἴσθησιν φιλοσοφία* (transcendentale Spekulation), *ἤτοι ἡ ἐκ τῶν προτέρων γνῶσις* (a priori der Erkenntnis)· *ὧν δ' ὁ μὲν* Schelling *προσεγγίζει μᾶλλον τῷ Πλάτωνι ἐν τῇ τῶν ἰδεῶν θεωρίᾳ, τοῦ δὲ* Hegel *ἡ θεωρία συνῳδὰ τῷ Σπινόζᾳ ὄζει πανθεΐας* (Pantheismus)· *ἀλλὰ καὶ τοῦ* Kant *ἐν μέρει, παρ' ᾧ εὑρίσκει τις καὶ δόξας ἔτι ὑλισμοῦ* (Materialismus) *καὶ πεπρωμένου* (Fatalismus). *Τούτου δ' ἕνεκα καὶ* Zeller *ὁ ἐν Βερολίνῳ περιώνυμος καθηγητὴς τῆς ἱστορίας τῆς φιλοσοφίας τῶν Ἑλλήνων φαίνεται ἀποσκιρτήσας ἐκ τῆς σχολῆς τοῦ* Hegel *καὶ τῇ τοῦ* Herbart *ὁπωσοῦν προσαρτηθείς, καίπερ μᾶλλον ὡς κριτικὸς φιλόσοφος διακρινόμενος.*

β) *Ὁ* Herbart — *περὶ οὗ βραδύτερον πραγματευσόμεθα — θεωρεῖ τὴν Ἠθικὴν μέρος τῆς Αἰσθητικῆς καὶ τὴν Ψυχολογίαν μέρος τῆς Μεταφυσικῆς, ἅτε εἰς σύστημα τὴν Ψυχολογίαν ἐπὶ τῆς Ἐμπειρίας τῆς Μεταφυσικῆς καὶ τῆς Μαθηματικῆς παγιώσας.*

ἐκείνων ἀναμιμνήσκονται, καὶ πᾶσα ἡ λεγομένη μάθησίς ἐστιν ἀνάμνησις [1]). *Ἀλλ᾽ οὐδὲν πάλιν ἄλογον οὐδὲ θαυμαστόν, εἰ ἐκεῖ ψυχαὶ ψυχαῖς ἐντυχάνουσαι, φαντασίας ἐμποιοῦσι τοῦ μέλλοντος, ὥσπερ ἡμεῖς ἀλλήλοις οὐ πάντα διὰ φωνῆς, ἀλλὰ καὶ γράμμασι καὶ θιγόντες μόνον καὶ προσβλέψαντες πολλὰ καὶ μηνύομεν τῶν γεγονότων καὶ τῶν ἐσομένων προσημαίνομεν* [2]).

Ἐκ δὲ τούτων καὶ τὸν τελικὸν τοῦ ἀνθρώπου προορισμὸν εὔπορόν ἐστιν ἡμῖν νῦν δηλῶσαι κατὰ τὴν Πλουτάρχου γνώμην. Ὅτε γὰρ ἡ ψυχὴ φύσει συγγενής ἐστι καὶ ὁμοιοτάτη τῷ θείῳ καὶ συνῆν πρότερον αὐτῷ καὶ ἐθεώρει καὶ ἐπέγνω αὐτό, εἶτα δὲ ἐξέπεσεν εἰς ἀλλότριον εἶδος καὶ ἐπελάθετο τῶν ἐκεῖ, οὐ μέντοι παντάπασιν ἐξέστη τῆς ἀρχαίας φύσεως, ἀλλὰ καὶ παραμένει ἔτι ἀμυδρὰ μνήμη ἐκείνων καὶ ἔρως ἀναπτερῶν αὐτήν, τούτων οὕτως ἐχόντων, οὐδὲν ἄλλο ἔξεστιν εἶναι τὸ τέλος τοῦ ἀνθρώπου ἢ τὴν ἀρχαίαν φύσιν καὶ ἕξιν ἀναλαβεῖν, τοῦτο δ᾽ ἐστὶ, θεῷ ὁμοιωθῆναι καὶ συνεῖναι [3]).

β΄. Ἡ ψυχὴ ἐν ἑαυτῇ.

Ἡ ψυχὴ οὖν τοῦ ἀνθρώπου ὡς ἔφθημεν εἰπόντες ἐκ δύο συνέστηκε συστατικῶν, ἐκ τοῦ λογικοῦ [4]) *καὶ ἐκ τοῦ ἀλόγου ἢ παθητικοῦ. Καὶ ὅταν μὲν ἐπικρατήσῃ παρὰ τοῖς ἀνθρώποις ὁ λόγος, τότε κολάζων οὗτος τὰς ἐπιθυμίας καὶ τοῖς φιλοσόφοις συνάδων καὶ τῶν νόμων παραίτιος καθίσταται τοῦ ἐν τοῖς ἀν-*

---

1) *Πρβλ. Πλάτ. Φαίδ.* 72, E — 76, D. *Φαῖδρ.* 249, C. *Μέν.* 81, C — 86, B. *Φιληβ.* 34, B. *Νόμ. Ε΄*, 732, B. *Ἔπιθι καὶ* Susemihl, Die genetische Entwickelung der platonischen Philosophie, 1. Band, S. 139. 244 *καὶ* 429 *κέξ.*

2) Mag man immerhin diese Anschauungen Plutarchs poetische Philosophie nennen. Sie enthalten im Kerne auch die christlichen Lehren von der Unsterblichkeit der Seele und dem ewigen Leben. Daſs die Gerechten ihre Krone empfangen, erinnert an die Bildersprache der Offenbarung des Neuen Testaments. (Fabricius, Zur religiösen Anschauungsweise Plutarchs, S. 30.)

3) *Πρβλ. καὶ Πλάτ. Πολ.* I, 613, A. *Νόμ. Δ*, 716, C—D. *Θεαίτ.* 176, B.

4) *Τὸ λογικὸν τῆς ψυχῆς μέρος καλεῖ ὁ Πλούταρχος ἀδιαφόρως καὶ λόγον ἔχον καὶ λογισμὸν καὶ λογιστικὸν καὶ ἡγεμονικόν· οἱ δὲ Στωϊκοὶ καὶ Ἐπικούρειοι μόνον ἡγεμονικόν· ὁ δὲ Ἀριστοτέλης διανοητικὸν καὶ βουλευτικόν, διακρίνων αὐτὸ εἰς θεωρητικὸν καὶ πρακτικόν. Καὶ τοῦ μὲν θεωρητικοῦ πηγή ἐστιν ἡ ἐπιστήμη καὶ ὕψιστον ὄργανον ὁ νοῦς, ὃν διακρίνει εἰς παθητικὸν καὶ*

ἀνθρώποις εὖ ζῆν· τὸ δ' εὖ ζῆν ἐστι κοινωνικῶς ζῆν καὶ φιλικῶς καὶ σωφρόνως καὶ δικαίως· ὅταν δ' αὖ ἐν ἀνθρώποις παρὰ τὸ προσῆκον τῇ ἀνθρωπίνῃ φύσει τὸ παθητικὸν ἐπικρατήσῃ καὶ ἄλογον τῆς ψυχῆς, οὗτοι πάντων τότε τῶν θηρίων ἀγριώτατοι καθίστανται· ἔξεστιν ὅμως τοῖς τοιούτοις ἀνθρώποις ἐπὶ πολὺν χρόνον τὸ ἦθος περικαλύπτειν, ἀλλὰ καιρῶν προστυχόντων καὶ κατὰ μικρὸν ἀναδύεται καὶ ἀπογυμνοῦται καὶ ἀναφαίνεται ἐν πᾶσι αὐτοῦ τῇ ἀγριότητι. Ἄρκτων μὲν γὰρ ἔτι νήπια καὶ λύκων τέκνα καὶ πιθήκων εὐθὺς ἐμφαίνει τὸ συγγενὲς ἦθος ὑπὸ μηδενὸς ὑπαμπεχόμενον μηδὲ καταπλαττόμενον· ἡ δ' ἀνθρώπου φύσις εἰς ἔθη καὶ δόγματα καὶ νόμους ἑαυτὴν ἐμβαλοῦσα κρύπτει τὰ φαῦλα καὶ τὰ καλὰ μιμεῖται πολλάκις, ὥστε ἢ παντάπασιν ἐξαλεῖψαι καὶ διαφυγεῖν ἐγγενῆ κηλῖδα τῆς κακίας ἢ διαλαθεῖν πολὺν χρόνον, οἷον ἑλυτρόν τι ἑαυτῇ τὴν πανουργίαν περιβαλοῦσαν. Καὶ κατὰ τοῦτο διαφέρει ἡ τοῦ ἀνθρώπου ψυχὴ τῆς τῶν ζῴων, ὅτι τὸ λογιστικὸν αὐτοῦ εὑρίσκεται εἰς λίαν ὑπέρτερον βαθμόν, ἐν ᾧ τὰ ζῷα οὔκ εἰσι μὲν ἄμοιρα παθῶν, ἀλλὰ στεροῦνται τοῦ λόγου καὶ τῆς κρίσεως, ἡ δὲ ψυχὴ αὐτῶν πάντῃ ὑνητή. Φύσει οὖν προσήκει θεῖον ὄντα τὸν λογισμὸν ἡγεῖσθαι καὶ ἄρχειν τοῦ ἀλόγου καὶ τὴν γένεσιν αὐτόθεν ἔχοντος ἐκ τοῦ σώματος· ᾧ καὶ συνεξομοιοῦσθαι καὶ κοινωνεῖν παθῶν καὶ ἀναπίμπλασθαι πέφυκεν, ἐνδεδυκὼς αὐτῷ καὶ καταμεμιγμένος, ὡς δηλοῦσιν αἱ ὁρμαὶ πρὸς τὰ σωματικὰ κινούμεναι καὶ σφοδρότητας ἐν ταῖς τοῦ σώματος μεταβολαῖς καὶ ἀνέσεις λαμβάνουσαι. Τὸ δὲ παθητικὸν οἰκείου λόγου στέρεται καὶ ἄμοιρόν ἐστιν, ἄλλως τε τοῦ λογιζομένου καὶ φρονοῦντος εἰσακούειν καὶ τρέπεσθαι πρὸς ἐκεῖνο καὶ ὑπείκειν καὶ κατασχηματίζεσθαι πέφυκεν, ἐὰν μὴ τέλειον ᾖ διεφθαρμένον ὑφ' ἡδονῆς ἀμαθοῦς καὶ ἀκολάστου διαίτης. Τούτου δ' αὖ πάλιν τοῦ ἀλόγου τῆς ψυχῆς, ὡς ἐκ τῆς συγκοινωνίας αὐτῆς μετὰ τοῦ σώματος, διχῇ μεριζομένου, τὸ μὲν ἀεὶ σωματικὸν κέκληται, ἐπιθυμοῦν, τὸ δὲ ἔστι μὲν ᾗ τούτῳ προστιθέμενον, ἔστι δὲ ᾗ τῷ λογισμῷ παρέχον ἰσχὺν ἐπὶ τοῦτο καὶ δύναμιν, θυμοειδές· ἀποδείκνυσι δὲ τὴν διαφορὰν μάλιστα τῇ τοῦ λογιζομένου καὶ φρονοῦντος ἀντιβάσει πρὸς

ποιητικόν· τοῦ δὲ πρακτικοῦ ἡ φρόνησις, ὁπόθεν αἱ τέχναι. Τὸ δ' αὖ πάλιν ἄλογον διαιρεῖ εἰς τέσσαρα μέρη. Τῷ Ἀριστοτέλει ἐν πᾶσι τούτοις καὶ Πλούταρχος συνᾴδει.

τὸ ἐπιθυμοῦν καὶ θυμούμενον· ὥστε ἕτερα εἶναι πολλάκις ἀπειθοῦντα καὶ δυσμαχοῦντα πρὸς τὸ βέλτιστον. Συνῳδὰ οὖν τούτοις πενταμερὴς φαίνεται ἡ ψυχή, ἓν μὲν αὐτῆς θρεπτικὸν ἢ φυτικόν, ἓν δὲ αἰσθητικόν, ἓν δ' ἐπιθυμητικόν, ἓν δὲ θυμοειδές, ἓν δὲ λογιστικόν [1]), ὡς τὸ διάγραμμα δηλοῖ τόδε·

Ἐν τῇ τοῦ ἀνθρώπου ψυχῇ μέρη ἔνεστιν·

I. Τὸ ἄλογον				II. Τὸ λογικόν, νοῦς καὶ λόγος			
ἀπειθὲς τῷ λόγῳ		πειθόμενον τὸ παθητικόν		Ε'. Λογιστικόν			
Α'. Θρεπτικόν	Β'. Αἰσθητικόν	Γ'. Ἐπιθυμητικόν	Δ'. Θυμοειδές	Θεωρητικόν		Πρακτικόν	
καὶ φυτικόν	καὶ ζωτικόν	ἐπιθυμία	θυμός ὀργή	Σοφία	Ἐπιστῆμαι	Φρόνησις	Εὐβουλία
καὶ φυσικόν	καὶ σφυγμικόν	ἡδονή λύπη	μῆνις χόλος	ποίησις		τέχνη	

1) Ἐνταῦθα Πλούταρχος συνδυάζει τὴν τῶν δυνάμεων τῆς ψυχῆς (Seelenvermögen) θεωρίαν τοῦ Πλάτωνος καὶ Ἀριστοτέλους, ἅτε τοῦ Λογιστικοῦ, Θυμικοῦ καὶ Ἐπιθυμητικοῦ ἀντιστοιχούντων ταῖς τρισὶ δυνάμεσι τῆς ψυχῆς, τῷ γνῶναι, συναισθάνεσθαι καὶ ὀρέγεσθαι. Ἀλλ' ἡ Ψυχολογία τοῦ Ἑρβάρτου (Herbart) ἐρειδομένη ἐπὶ τοῦ ἑνιαίου καὶ ἀδιαιρέτου τῆς ψυχῆς ἀπορρίπτει τὰς δυνάμεις αὐτῆς, αἵτινες ὑπὸ τῶν ἄλλων Ψυχολόγων ὡς τρεῖς ἀποκεκλεισμέναι καὶ κεχωρισμέναι καὶ πάντῃ πλησίον ἀλλήλων χωρὶς κείμεναι οὕτως εἰπεῖν αἴθουσαι θεωροῦνται. Πάντα γὰρ τὰ ψυχικὰ φαινόμενα κατὰ HERBART εἰσὶ μόνον καταστάσεις τοῦ ἑνὸς ἁπλοῦ πραγματικοῦ ὄντος, τῆς ψυχῆς, ἥτις ὡς ἄγραφος πινακὶς (tabula rasa) στερεῖται μὲν παντάπασιν ἀρχεγόνων καὶ συμφύτων (Anlagen) ἐννοιῶν, ἀλλὰ προσκτᾶται τὰς ἐντυπώσεις αὐτῆς ἐκ τοῦ ἐξωτερικοῦ κόσμου, μεθ' οὗ εἰς συνάφειαν προσέρχεται. (Herbart, Sämmtliche Werke von Hartenstein Bd. V, S. 108; Bd. VI, S. 162. Zeitschrift für „Exakte Philosophie", 3. Bd., S. 273 f.; 4. Bd., S. 63. Zeitschrift für „Völkerpsychologie und Sprachwissenschaft" von Lazarus und Steinthal, 12. Bd., S. 435 ff. Schmid, Encyklopädie des Erziehungs- und Unterrichtswesens, 2. Aufl., ἐν λ. HERBART. Volkmann, Lehrbuch der Psychologie, 3. Aufl., 1. Bd., S. 28 ff. „Jenaische Allgemeine Litteratur-Zeitung", 1822, 1. Bd., S. 41 etc.) Τούτου ἕνεκα ἡ Ψυχολογία τοῦ HERBART ἐστὶ πάντῃ ἐμπειρική, παράγουσα τὸ ἐμπειρικὸν ἐνδιαφέρον (Interesse) τῶν ἐκ τῆς φύσεως φαινομένων καὶ γεγονότων. Τὸ ἐνδιαφέρον δὲ τοῦτο κατὰ Herbart ἐστὶ σκοπὸς ἐκ πάσης παιδαγωγικῆς διδασκαλίας προσποριζόμενος· πενταπλοῦν δ' ὂν εἰς δύο διαιρεῖται τμήματα, ὡς ἑξῆς·

Ἐνδιαφέρον
ὡς

I. Γνῶσις			II. Συμμετοχή πρὸς τόν		
Α. Γνῶσις		Β. Ἐκτίμησις τοῦ ὡραίου καὶ καλοῦ ὡς	Α. ἄνθρωπον		Β. θεον
1. ἐμπειρική τῆς φύσεως ὡς Ἐμπειρια	2. θεωρητική τῆς ἐννοίας ὡς Διανόημα	3. Αἰσθητικόν Καλαισθησία	ἐν μέρει ὡς 4. συμπαθητικόν Συγκοινωνία	ἐν συνόλῳ ὡς 5. κοινωνικον	ὡς 6. θρησκευτικόν ἐνδιαφερον Ἀνύψωσις

Καὶ τῷ μὲν λογιστικῷ τὸ ἄρχειν ἢ ἡγεῖσθαι, τῷ δὲ θυμοειδεῖ τὸ ἄρχεσθαι καὶ τὸ ἄρχειν κατὰ φύσιν ἐστίν, ὑπηκόῳ μὲν ὄντι τοῦ λογισμοῦ, κρατοῦντι δὲ καὶ κολάζοντι τὴν ἐπιθυμίαν, ὅταν ἀπειθῇ τῷ λογισμῷ [1])· *τὸ γὰρ θυμοειδὲς οὐκ ἀκράτως παθητικόν ἐστιν, ἀλλὰ φαντασίαν καλοῦ πολλάκις ἔχει μεμιγμένην ἀλόγῳ τῇ τιμωρίας ὀρέξει. Τὸ δὲ αἰσθητικὸν καὶ τὸ θρεπτικὸν ἢ φυτικὸν τῆς ψυχῆς μέρος ὅλως ἀνήκοα λόγου καὶ κωφὰ τρόπον τινὰ τῆς σαρκὸς ἐκβεβλάστηκε καὶ περὶ τὸ σῶμα παντελῶς καταπέφυκε. Καὶ Πλάτων δὲ αὐτὸς εἰκάσας συμφύτῳ ζεύγει καὶ ἡνιόχῳ τὸ τῆς ψυχῆς εἶδος, ἡνίοχον μέν, ὡς παντὶ δῆλον, ἀπέφηνε τὸ λογιστικόν· τῶν δ' ἵππων* [2], *τὸ μὲν περὶ τὰς ἐπιθυμίας, ἀπειθὲς καὶ ἀνάγωγον παντάπασι, περὶ ὦτα λάσιον, κωφόν, μάστιγι μετὰ κέντρων μόλις ὑπεῖκον· τὸ δὲ θυμοειδές, εὐήνιον τὰ πολλὰ τῷ λογισμῷ καὶ σύμμαχον* [3]). *Δι' ὃ αἱ δυνάμεις τῆς ψυχῆς, τὸ λογικὸν καὶ θυμοειδὲς καὶ ἐπιθυμητικόν, συμφωνία ἁρμονία μέσης καὶ ὑπάτης καὶ νήτης ἐστί* [4], *τοῦ θυμοειδοῦς τῷ τόπῳ τὴν μέσην ἔχοντος ἐκείνων τάξιν* [5]).

Πῶς οὖν διακειμένη ἡ ψυχὴ ἄριστ' ἂν ἔχοι; Εἰ ἐν τῇ ψυχῇ βεβαίως ἡ κατὰ φύσιν ὑγίεια ἂν εἴη καὶ εὐεξία καὶ κάλλος. Γένοιτο δ' ἂν αὕτη, εἰ ἕκαστον τῶν τῆς ψυχῆς μορίων τὴν οἰκείαν ἀπολάβοι ἀρετήν, ὥστε μὴ μόνον πρόθυμον εἶναι τὰ ἑαυτοῦ ἐπι-

---

1) *Τὰ τοῦ Ψευδοπλουτάρχου εἰς τὰ* Fragmenta *περιλαμβανόμενα καὶ τῷ Πλουτάρχῳ ἀποδιδόμενα δύο ψυχολογικὰ βιβλία „πότερον ψυχῆς ἢ σώματος ἐπιθυμία καὶ λύπη, λόγος ιζ'" καὶ „εἰ μέρος τὸ παθητικὸν τῆς ἀνθρώπου ψυχῆς ἢ δύναμις, λόγος ιή" οὐκ ἔσχομεν ὑπ' ὄψει ὡς ὑποβολιμαῖα θεωρούμενα λόγῳ χασμῳδίας καὶ ὑφῆς τοῦ περιεχομένου. Ἔπιθι καὶ* Volkmann, Leben, Schriften und Philosophie des Plutarch, 1. Teil, S. 105.

2) *Τῷ* Zeller (Die Philosophie der Griechen II, 1, 2. Aufl., S. 571 und 113f.) *ὀρθῶς δοκεῖ ἡγεῖσθαι τοὺς δύο ἵππους (Πλάτ. Φαῖδρ.* 246, A) *εἶναι τὰ δύο τῆς ψυχῆς θνητὰ μέρη· σφάλλεται δὲ* Hermann (De partib. anim. immortal. scc. Platon, Goettingen 1850—51, p. 10) *ἡγούμενος τὸν ἡνίοχον καὶ τοὺς δύο ἵππους τοῖς τρισὶν ἀντιστοιχοῦντας μέρεσιν, οἷς ἡ τοῦ παντὸς ψυχὴ συνέστηκεν. Ἐπ' ἴσης σφάλλεται καὶ* Susemihl (Die genetische Entwickelung der platonisch. Philos. I, 232) *παραδεχόμενος τὴν ψυχὴν ὑφ' ἑνὸς σιδηροῦ σώματος περιβεβλημένην, ἀλλὰ τὴν δόξαν ταύτην ἔπειτα δικαίως* Zeller *ἀνήρεσεν (Αὐτόθ.* II, 1, p. 527 *σημ.* 2).

3) *Πλουτ. Πλατ. Ζητ. Θ, α,* 8.

4) *Αὐτόθ. Θ, α,* 1.

5) *Αὐτόθ. Θ, α,* 6.

τελεῖν, ἀλλὰ καὶ δύνασθαι, τὸ μὲν λογικόν, ᾧ φύσει προσήκει ἄρχειν καὶ ἔχειν τῆς ὑπὲρ ἁπάσης τῆς ψυχῆς προμήθειαν, εἰ δύναιτο τοῦτο ἔργῳ ὅτι ἄριστα ἐπιτελεῖν· αὕτη δ᾽ ἡ ἀρετὴ καλεῖται φρόνησις καὶ σοφία (Weisheit), ἥτις ὡς ἀπροσδεὴς τοῦ ἀλόγου καὶ περὶ τὸν εἰλικρινῆ καὶ ἁπαθῆ νοῦν συνισταμένη αὐτοτελής τίς ἐστιν ἀκρότης τοῦ λόγου καὶ δύναμις, ᾗ τὸ θειότατον ἐγγίνεται τῆς ἐπιστήμης καὶ μακαριώτατον. Καὶ ἡ μὲν σοφία ἀποτελεῖ τὸ θεωρητικὸν καὶ ἐπιστημονικὸν ὡς ἀνήκουσα εἰς τὰ ἁπλῶς πρὸς ἡμᾶς ἔχοντα, ἡ δὲ φρόνησις τὸ βουλευτικὸν καὶ πρακτικὸν ὡς ἀνήκουσα εἰς τὰ πῶς ἔχοντα πρὸς ἡμᾶς [1]). Τὸ δὲ θυμοειδές, ᾧ προσήκει φύσει ὑπηκόῳ εἶναι καὶ συμμάχῳ τοῦ λογιστικοῦ, εἰ προθυμοῖτό τε καὶ δύναιτο τοῦτο ὅτι ἄριστα ἔργῳ ἐπιτελεῖν, μὴ δελεαζόμενον ὑφ᾽ ἡδονῶν καὶ λυπῶν, μηδὲ πτοούμενον ὑπὸ τῶν προσπιπτόντων φόβων ἑκάστοτε, ἀλλὰ διὰ πάντων τούτων διασῳζον, ἣν διὰ τῆς τροφῆς κτησάμενον ἔχοι δόξαν περὶ τῶν δεινῶν ἅ τε ἀληθῶς ἐστι καὶ οἷα, ἢ ἣν νῦν ποτε ὑπὸ τοῦ ἀλόγου λαμβάνοι παραγγελίαν· αὕτη δὲ ἡ ἀρετὴ ἐστιν ἡ ἀνδρεία (Tapferkeit), πᾶν τὸ ὑπομονητικὸν ἔχουσα. Τὸ δὲ ἐπιθυμητικόν, ᾧ τυφλῷ ὄντι καὶ ἀτάκτως κινουμένῳ προσήκει πειθαρχεῖν τοῖς κρείττοσι γένεσι καὶ κοσμεῖσθαι καὶ ῥυθμίζεσθαι ὑπ᾽ αὐτῶν, εἰ μὴ ἀντιτείνοι, ἀλλὰ προθύμως πύθοιτο δίκην ἀρνίου μᾶλλον ἡμέρου, ἢ τράγου· ἡ δ᾽ ἀρετὴ αὕτη ἐστὶν ἡ σωφροσύνη [2]) (Besonnenheit, Mäfsigung, Selbstbeherrschung), ὅταν μάλιστα ἅπαν τῆς ψυχῆς τὸ παθητικὸν ὥσπερ εὐήνιον θρέμμα καὶ πρᾷον ὁ λογισμὸς ἡνιοχῇ καὶ μεταχειρίζηται περὶ τὰς ἐπιθυμίας χρώμενος ὑπείκοντι καὶ δεχομένῳ τῷ λογισμῷ καὶ κρατοῦντι τὴν ἐπιθυμίαν· τότε δὲ συνήρμοσται καὶ συγκέκραται τὸ ἄλογον πρὸς τὸν λογισμὸν εὐπειθείᾳ καὶ πραότητι θαυμαστῇ κεκοσμημένον [3]). Ἔτι δ᾽ ἡ σωφροσύνη εἰς τὸ μέσον ἀπαθείας καὶ ἀναισθησίας καὶ ἀκολασίας ἀεὶ τὰς ἐπιθυμίας καθίστησιν, ἅτε κοσμοῦσα τὴν ἐπιθυμίαν καὶ ὁρίζουσα τὸ μέτριον καὶ εὔκαιρον ἐν ἡδοναῖς. Ἡ δὲ τὴν δύναμιν παρέχουσα ἀρετὴ ταῖς τρισὶν ἐκείναις, ὥστε ἐγγενέσθαι καὶ ἐγγενομέναις σω-

1) *Πρβλ.* Ἀριστοτ. Ἀναλ. ὑστ. 1. 2.

2) Ἔπιθι Müller, Geschichte der Theorie der Kunst bei den Alten, 1. Band, S. 231 (Breslau 1834—37).

3) *Πλουτ.* Ἠθ. ἀρετ. 7. *Πρβλ. καὶ Πλάτ. Πολιτ. Δ*, 427, D — 432, A. 441, E — 442, D.

τηρίαν, τουτέστιν ἡ ποιοῦσα τὸ λογικὸν ἄρχειν δύνασθαι, τὴν φρόνησιν ἔχον, καὶ τὸ θυμοειδὲς ἐπικουρεῖν τῷ λογιστικῷ δύνασθαι, ὥστε τὰς ὁρμὰς καὶ ὀρέξεις τοῦ ἐπιθυμητικοῦ καταστέλλειν, τὴν ἀνδρείαν ἔχον, καὶ τὸ ἐπιθυμητικὸν πειθαρχεῖν δύνασθαι καὶ τὰ ἑαυτοῦ πράττειν, τὴν σωφροσύνην ἔχον, αὕτη ἡ ἀρετή ἐστιν ἡ δικαιοσύνη (Gerechtigkeit) ἐν κοινωνήμασι καὶ συμβολαίοις ὁμιλοῦσα πρὸς ἑτέρους [1]). Ἐν δὴ δικαιοσύνῃ συλλήβδην πᾶσα ἀρετὴ ἔνι [2]). Τοιαύτης δὲ τοίνυν πεφυκυίας τῆς δικαιοσύνης ἡ ἕξις ἀδύνατος παντί, ἀλλὰ μόνοις τοῖς ἄριστα μὲν φῦσιν, ἄριστα δὲ μάλιστα παιδευθεῖσι, πρὸς δὲ καὶ ἡλικίαν τὴν προσήκουσαν ἔχουσιν.

Ἀλλ' ὑπολάβοι ἄν τις, εἰ τοσούτοις μόνον ἐφικτή ἐστιν ἡ δικαιοσύνη, ἄδικοι ἆρά γέ εἰσιν οἱ πολλάκις πλείους; Τοῦτο μὲν οὔ· πολλοὶ γὰρ μεταξὺ τῆς τελείας δικαιοσύνης καὶ τῆς τελείας ἀδικίας βαθμοί. Ἀλλὰ καὶ ἄνευ τούτου τῆς φυσικῆς ἐλλείψεως ἀναπλήρωσίς ἐστι δυνατή, ὅταν τοῖς στερουμένοις οἰκείας φρονήσεως ἢ καὶ ἀνδρείας ἔξωθεν ἐπιστατῶσι φρόνησις καὶ ἀνδρεία τῶν κεκτημένων, τὸ κοινὸν σκοποῦσαι ἀγαθόν. Ἐνταῦθα ἤδη προφαίνεται ἡμῖν πολιτείας ἀνάγκη μία, τάξεως μὲν δῆλα δὴ ἀρχόντων καὶ ἀρχομένων μετὰ δίκης, νόμων [3]) δὲ σῳζόντων τὴν τάξιν

1) Πλουτ. Ἠθ. ἀρετ. 2. Πρβλ. καὶ Πλάτ. Πολιτ. Δ, 433, B. Φαίδ. 114, E.

2) Πλουτ. Ἀριστείδ. 6. Πρβλ. καὶ Ἀριστοτ. Ἠθ. Νικ. Ε, 3. ἔκδ. Susemihl.

3) Οἱ νόμοι ἄνευ ἀγαθῶν ἠθῶν οὐδὲν ἰσχύουσι „Quid leges, sine moribus vanae proficiunt" λέγει ὁ Ὁράτιος (Horatius Carm. III, 24. 35), ὁ δὲ Ἀριστοτέλης· „Ἡ ἠθικὴ ἐξ ἔθους περιγίνεται ... Οἱ γὰρ νομοθέται τοὺς πολίτας ἐθίζοντες ποιοῦσιν ἀγαθούς. Καὶ τὸ μὲν βούλημα παντὸς νομοθέτου τοῦτ' ἔστιν, ὅσοι δὲ μὴ εὖ αὐτὸ ποιοῦσιν, ἁμαρτάνουσι· καὶ διαφέρει τούτῳ πολιτεία πολιτείας ἀγαθὴ φαύλης (Ἠθικ. Νικ. Β, 1)· ὁ δὲ Πλάτων· „οὐδείς ποτε ἀνθρώπων οὐδὲν νομοθετεῖ, τύχαι δὲ καὶ συμφοραὶ παντοῖαι πίπτουσαι παντοίως νομοθετοῦσι τὰ πάντα ἡμῖν" (Νόμ. Δ, 709 A). Ἀλλ' οἱ νόμοι εὑρίσκονται ἐν εὐθεῖ λόγῳ πρὸς τὰ ἤθη τῆς πολιτείας, δι' ὃ μικρὸν αὐτοὶ τῇ Ῥωμαϊκῇ συνετέλεσαν κοινωνίᾳ, ἐν ᾗ τὰ ἤθη μεμολυσμένα ἦσαν· τούτου δ' ἕνεκα τὸ γιγαντιῶδες τοῦτο κράτος ἔπεσε πάντῃ ἀφ' ἑαυτοῦ καὶ μετ' αὐτοῦ σύμπας ὁ τότε ἀρχαῖος κόσμος. Εἰς μόνην λοιπὸν τὴν οὐρανόθεν κατελθοῦσαν ἠθικὴν ἐναπέκειτο ὁ τῆς ἀνθρωπότητος ἀνακαινισμός, ἐκ μόνου τουτέστι τοῦ Χριστιανισμοῦ ἡ σωτηρία τοῦ ἀνθρωπίνου γένους ἐξηρτᾶτο. Τῷ ὄντι ὁ Χριστιανισμὸς ἀνήγειρε τὴν πεπτωκυῖαν καὶ ἐξηχρειωμένην ἀνθρωπότητα, ἀνέῳξεν αὐτῇ εὐρὺ στάδιον τῷ ἀνθρωπίνῳ προορισμῷ ἀντάξιον. Ὁ Χριστιανισμός ἐστι τὸ ἀειθαλὲς δένδρον, ὅπερ πάντας τοὺς πρὸς αὐτὸ προσερχομένους ἐπισκιάζει καὶ ἀνακουφίζει τῶν περιπετειῶν τοῦ βίου τῶν ἀνθρώπων καὶ ἐθνῶν. Ὁ Χριστια-

ταύτην. Εἰ γὰρ ἦν δυνατὴ παντὶ ἡ δικαιοσύνη καὶ πᾶς μετὰ σωφροσύνης καὶ ἀνδρείας ἐπιστήμην καὶ νοῦν οἷος τ' ἦν κεκτῆσθαι οἰκεῖον, οὐδὲν ἂν ἔδει τούτου γε ἕνεκα πολιτείας [1]). *Ἀλλὰ*

νισμὸς οὐ μόνον ὑπῆρξε πρόοδος τῶν πρὸ αὐτοῦ δεκτῶν γενομένων ἀρχῶν, ἃς ἐπεξέτεινε, συνεπλήρωσε καὶ περιέβαλε διὰ χαρακτῆρος μᾶλλον ὑψηλοῦ καὶ δυνάμεως μᾶλλον συμπαθοῦς, ἀλλὰ καὶ διὰ τοὺς ἀπιστοτάτους κατάβασις τοῦ οὐρανίου πνεύματος ἐπὶ τῶν ἀποκεκληρωμένων ὑπὸ τῆς σοφίας καὶ βεβυθισμένων εἰς τὰ σκότη τῆς πολυθείας τάξεων. Ὁ Χριστιανισμὸς ἔτι καὶ ἐπὶ τοῦ δικαίου διττὴν ἐξήσκησεν ἐπήρειαν, ὡς θρησκεία, οὐ μὴν ἀλλὰ καὶ ὡς ἠθικὴ φιλοσοφία. Δι' ὃ διὰ τῆς πρὸς τὸν Θεὸν ἀγάπης, τῶν κοσμοπολιτικῶν αὐτῆς ἰδεῶν καὶ τῆς καθαρότητος τῶν ἰδίων ἠθικῶν ἀρχῶν ἐπενήργησε σωτηριωδῶς ἐπὶ τοῦ δικαίου, καὶ παρέσχεν ἰσχυρῶς ἅπασι τοῖς ἔθνεσι τὰ πολιτικὰ δίκαια, πρότερον ἀποκλειστικῶς τοῖς Ῥωμαίοις ἀνήκοντα πολίταις ἢ τοῖς ὑπηκόοις τῆς αὐτοκρατορίας, μεταβαλοῦσα ὑπὲρ τοῦ φυσικοῦ δικαίου καὶ τῆς ἠθικῆς τὰς πλείστας θεωρίας τῆς ῥωμαϊκῆς νομοθεσίας. Ὁ Χριστιανισμὸς τέλος ἐκήρυξεν οὐ μόνον τὴν συγγένειαν καταργῶν τὴν δουλείαν, ἀλλὰ καὶ τὴν ἀδελφότητα καὶ τὴν παγκόσμιον ἀλληλεγγύην· ἐπαγίωσε δ' ἐπὶ τῆς βάσεως ταύτης ἔνθεν μὲν τὴν εὐμενῆ αὐτοῦ ἠθικήν, ἔνθεν δὲ τὴν ἄκαμπτον ἐν πράγματι αὐταπάρνησιν, τὴν θυσίαν καὶ τὴν ἀμιλοκερδῆ τοῦ πλησίον ἀντίληψιν, προσενεγκὼν εἰς τὰ ἔθνη ἀρχὰς ἐντελοῦς ἀναπτύξεως καὶ τὴν ἄμεσον αὐτῶν ἐφαρμογὴν κατὰ πάσας τῆς κοινωνίας τὰς τάξεις α).

1) *Ὁ Πλούταρχος ὡς τὴν φιλοσοφίαν μετὰ τῆς θρησκείας εἰς ἀλληλένδετον σχέσιν τίθησιν, οὕτω καὶ ὡς πολιτικὸς ἀνὴρ συνδυάζει μὲν τὴν πολιτικὴν μετὰ τῆς ἠθικῆς, ὡς Πλάτων καὶ Ἀριστοτέλης πράττουσιν, ἀλλὰ λίαν ἀφίσταται αὐτῶν, ζητῶν πολιτείαν δυναμένην ὑφίστασθαι καὶ ἐρευνῶν μάλιστα τὴν πολιτικὴν ἐπὶ τὸ πρακτικώτερον. Οὐδόλως φιλοσοφεῖ θεωρητικῶς ὡς Πλάτων, „ὃς μίαν γράψας πολιτείαν οὐδένα πέπεικεν αὐτῇ χρῆσθαι διὰ τὸ αὐστηρόν“* β), *οὐδ' ὡς Ἀριστοτέλης, οἳ ἀμφότεροι τὴν κατ' ἀρετὴν ὑπ' ἀγαθῶν ἀνθρώπων διακεκοσμημένην ὑπεδείκνυσαν πολιτείαν, ἣν οὐκ οἷόν τε τοιαύτην ἁπλῶς εὑρεῖν, ἅτε μὴ δυναμένων πάντων τῶν πολιτῶν ἀγαθῶν εἶναι. Ὁ Πλούταρχος ἐπεὶ ὁ αὐτὸς τὸ τῆς πολιτείας σκάφος ἐκυβέρνησεν ὡς ἀνθύπατος τῆς Ἰλλυρίδος, ἐδιδάχθη ἐκ πείρας τίς ἐστιν ἡ ἀρίστη πολιτεία· δι' ὃ αἱρεῖται τὴν περιωρισμένην μοναρχίαν, τὴν μόνην δυναμένην τὸν ἐντελῆ καὶ ὄρθιον ἐκεῖνον ὡς ἀληθῶς τῆς ἀρετῆς τόνον ἀνασχέσθαι καὶ μήτε πρὸς ἀνάγκην μήτε πρὸς χάριν ἁρμόσαι τοῦ συμφέροντος. Αἱ μὲν γὰρ ἄλλαι πολιτεῖαι, ὡς μοναρχία καὶ ὀλιγαρχία καὶ δημοκρατία καὶ αἱ τούτων παρατροπαὶ τυραννὶς καὶ δυναστεία καὶ ὀχλοκρατία, τρόπον τινὰ κρατούμεναι κρατοῦσι καὶ φερόμεναι φέρουσι τὸν πολιτικόν, οὐκ ἔχοντα τὴν ἰσχὺν βέβαιον ἐπὶ τούτοις. Ἀλλὰ τίνα δεῖ κατὰ*

α) *Πρβλ. Ἀποστ. Παύλου Α' πρὸς Κορινθ.* 1, 20. 2, 6. 8. 12. 3, 19. 12, 26. *πρὸς Ρωμ.* 1, 14. 10, 12. 12, 10. 16. 15, 24—28. *πρὸς Ἐφεσ.* 2, 6 *καὶ πολλαχοῦ.*

β) *Πλουτ. Τύχ. Ἀλεξ. Α,* 5.

τοῦτο οὐκ οἷόν τε ἄλλως εἶναι· ἀνάγκη οὖν πᾶσα πολιτείας

Πλούταρχον τὸν πολίτην ἐν μοναρχικῷ πολιτεύματι εἶναι; Τὸν πολίτην οὐκ ἀναίσθητον οὐδ' ἀνάλγητον ἐν στάσει καθῆσθαι προσήκει τὴν περὶ αὐτὸν ἀταραξίαν ὑμνοῦντα καὶ τὸν ἀπράγμονα βίον καὶ μακάριον ἐν ἑτέροις ἐπιτερπόμενον ἀγνωμονοῦσιν, ὡς Σόλων ὁ σοφὸς ἔγραψεν ἄτιμον εἶναι τὸν ἐν στάσει πόλεως μηδετέρᾳ μερίδι προσθέμενον· ἀλλ' ἐνταῦθα δεῖ μάλιστα τὸν Θηραμένους κόθορνον ὑποδούμενον, ἀμφοτέροις ὁμιλεῖν καὶ μηδετέρας προστίθεσθαι· δόξει γὰρ οὐχὶ τῷ μὴ συναδικεῖν ἀλλότριος, ἀλλὰ τῷ βοηθεῖν κοινὸς εἶναι πάντων· καὶ τὸ μὴ συνατυχεῖν οὐχ ἕξει φθόνον, ἂν πᾶσι φαίνῃ συναλγῶν ὁμοίως. Χρὴ τοίνυν μεριμνᾶν τὸν πολίτην ἀείποτε περὶ τῆς αὐτοῦ πολιτείας, ἐν ᾗ ἀνήκει. Οὐ γὰρ αἱ χεῖρες ἡμῶν οὐδὲ οἱ πόδες οὐδὲ ἡ τοῦ σώματος ῥώμη κτῆμα καὶ μέρος ἐστὶ τῆς πόλεως μόνον, ἀλλὰ πρῶτον ἡ ψυχὴ καὶ τὰ τῆς ψυχῆς κάλλη, δικαιοσύνη καὶ σωφροσύνη καὶ φρόνησις.

Τὸ πολιτεύεσθαι λοιπὸν κατὰ Πλούταρχον μεγίστην κέκτηται σημασίαν, ὁ δὲ πολιτικὸς ἄρχων μίμημα καὶ φέγγος ἐστὶν ἐν πόλεσι τοιοῦτον, οἷον ἥλιον ἐν οὐρανῷ περικαλλὲς εἴδωλον ἑαυτοῦ καὶ σελήνην ὁ Θεὸς ἐνίδρυσεν. Ἀλλὰ τὸ πολιτεύεσθαι τοῦτο οὐ συνίσταται εἰς τὸ ἄρχειν καὶ πρεσβεύειν καὶ μέγα βοᾶν ἐν ἐκκλησίᾳ καὶ περὶ τὸ βῆμα βακχεύειν λέγοντας ἢ γράφοντας, ἃ οἱ πολλοὶ τοῦ πολιτεύεσθαι νομίζουσιν, ἀλλ' ἡ συνεχὴς ἐν ἔργοις καὶ πράξεσιν ὁρωμένη καθ' ἡμέραν ὁμαλῶς πολιτεία. Ἡ ὀρθὴ τοίνυν διοίκησις, ὅπως τὸ κράτος αὐτοῦ εὐνομούμενον καταστῇ, ἔστω πᾶσα ἡ τοῦ πολιτικοῦ ἀνδρὸς μέριμνα καὶ οὐχὶ ἡ διὰ συρφετοῦ ἐνσήμων περικόσμησις τοῦ στήθους αὐτοῦ, οὐ μὴν ἀλλ' οὐδ' ἡ ἐπιδίωξις τῶν μεγάλων τῆς πόλεως τιμῶν καὶ ἀπαιτήσεων. Εἰ δ' οὐ ῥᾴδιόν ἐστιν αὐτὸν τὰς τῆς πόλεως τιμὰς ἀποφυγεῖν, δεῖ αὐτὸν ἐπιδιώκειν καὶ προτιμᾶν τὰς ἀγαθὰς μόνον καὶ νουνεχεῖς. Ἀλλ' ἐν ᾧ Πλάτων καὶ Ἀριστοτέλης παντοδαπῶς φιλοσοφοῦντες ἀμιλλῶνται τὴν καλλίστην καὶ ἀρίστην τῶν πολιτειῶν εὑρεῖν, ὁ Πλούταρχος τῇ ἑαυτοῦ πείρᾳ πεποιθὼς ὑποδείκνυσιν εὐθὺς ὡς τοιαύτην τὴν περιωρισμένην μοναρχίαν μηδαμῶς πλειότερον ἐξετάζων καὶ πάραυτα στρέφεται εἰς ἄλλο τι σπουδαιότερον κατ' αὐτὸν ἐν Πολιτικῇ θέμα, τουτέστι τὶς ἔσται ὁ ἄριστος πολιτικὸς ἀνήρ, ὁ μόνον δυνάμενος τὴν τοιαύτην ἀρίστην πολιτείαν ἐξ ὡς ἐγγιστα ἀγαθῶν ἀνδρῶν καταρτύσαι. Ὅθεν ὑποδείκνυσιν ἐν τοῖς περισωθεῖσιν αὐτοῦ πολιτικοῖς συγγράμμασιν, καθ' ὅτι ἀπώλοντο ἤδη τὰ ἐν δυσὶ βιβλίοις „Πολιτικὰ" αὐτοῦ, ἐν οἷς πάσης σπουδῆς ἄξια περιλαμβάνοιντο, τὴν θέσιν τοῦ πολιτικοῦ ἀνδρός, τὰς λόγῳ καὶ ἔργῳ ἀρετάς, ὧν δεῖ αὐτὸν ἐμφορεῖσθαι, καὶ τίνας συνυπουργοὺς καὶ πολιτικοὺς φίλους τῆς μερίδος αὐτοῦ δεῖ ἔχειν. Καὶ οἱ μὲν λόγοι τοῦ πολιτικοῦ ἀνδρὸς ἔστωσαν, κατὰ Πλούταρχον, ἄνευ προσπεποιημένης ῥητορικῆς δεινότητος καὶ πανουργίας οὐδὲ ἑαυτοῦ ἐπαίνου μεστοί, ἀλλ' ἤθους ἁπλάστου καὶ φρονήματος ἀληθινοῦ καὶ παρρησίας πατρικῆς καὶ προνοίας καὶ συνέσεως κηδομένης, ἐκ σεμνῶν ὀνομάτων ἀπαρτιζόμενοι καὶ νοημάτων ἰδίων καὶ πιθανῶν καὶ ἄνευ περιττολογιῶν, καὶ φωνῆς εὐεξίᾳ καὶ πνεύματος ῥώμῃ ἐκφωνούμενοι καὶ εἰς ἀπαντήσεις εὔστροφοι καὶ γεγυμνασμένοι. Οἱ δὲ φίλοι αὐτοῦ ἔστωσαν ἐκ τῶν δυνατωτάτων ὥσπερ ἔρματα τῆς πολιτείας βέβαια. Ὄργανα γὰρ οἱ φίλοι ζῶντα καὶ φρο-

τάξιν τε καὶ νόμους [1]) *ἐχούσης καὶ ὑπὸ νουνεχῶν ἀνδρῶν κυβερνωμένης.*

νοῦντα τῶν πολιτικῶν ἀνδρῶν εἰσι, καὶ οὐ δεῖ συνολισθαίνειν αὐτοῖς παραβαίνουσιν, ἀλλὰ προσέχειν, ὅπως μηδ' ἀγνοούντων αὐτῶν ἐξαμαρτάνωσιν. Ὡς ὑπουργοὺς δὲ δεῖ τὸν πολιτικὸν ἄρχοντα αἱρεῖσθαι τῶν φίλων τοὺς κρατίστους ἢ τῶν κρατίστων τοὺς πρωτάτους· ἥκιστα γὰρ ἀντιπράξουσιν οὗτοι καὶ μάλιστα συνεργήσουσι τὸ φρονεῖν ἄνευ τοῦ φιλονικεῖν ἔχοντες. Ἔτι δὲ δεῖ αὐτὸν τὸν κρείττονα ἐκ τῶν ὑπουργῶν θεραπεύειν καὶ κοσμεῖν τὸν ἥττονα καὶ τιμᾶν τὸν ὅμοιον, ἀσπάζεσθαι δὲ καὶ φιλεῖν ἅπαντας καὶ καταπαύειν τὰς πρὸς ἀλλήλους διαφοράς, αἵτινες ἐκ τῶν τριῶν τούτων κακῶν προκύπτουσιν· ἢ γὰρ ἴσους ἡγούμενοι τοὺς συνάρχοντας αὐτοὶ στασιάζουσιν, ἢ κρείττονας φθονοῦσιν ἢ ταπεινοτέρους καταφρονοῦσιν. Οἷα ἀλάνθαστος τοῦ σεβαστοῦ Πλουτάρχου γνώμη! Ἡλίκη τῶν λόγων τούτων ἀλήθεια καὶ σήμερον ἐπὶ τῶν ὑπουργῶν ἐφαρμοζομένη. Τούτου δ' ἕνεκα καὶ ὁ Πλούταρχος διὰ τοὺς πολυτίμους καὶ αἱρετοὺς τούτους τῶν πολιτικῶν ἀνδρῶν θησαυροὺς εἰς πλείστας ὅσας εὐρωπαϊκὰς μετηνέχθη λιλιὰς καὶ αὐτοῖς τοῖς πολιτικοῖς ἔτι ἀνδράσι διαφόρων λαῶν προσφιλὲς κατέστη ἀνάγνωσμα.

1) *Ὁ Πλούταρχος μνημονεύει πολλαχοῦ τῶν διαφόρων νόμων τῆς τε πρότερον καὶ τῆς συγχρόνου αὐτῷ ἐποχῆς, ἅτε οὐχὶ ἀδαὴς φαίνεται τῆς Νομικῆς ἐπιστήμης τυγχάνων κατὰ τὸ τότε ἰσχὺον ἀστικὸν Ῥωμαϊκὸν δίκαιον. Τοῦτο δέ, ὡς καὶ ἐκ Πλουτάρχου ἐξάγεται, προϊὸν πολλῶν αἰώνων καὶ διαφόρων πολιτισμῶν κατέστη ἐπιστήμη τότε μόνον, ὅτε ἡ ἑλληνικὴ φιλοσοφία ἐγένετο τοῖς Ῥωμαίοις γνωστὴ καὶ περιέβαλεν αὐτὸ ταῖς φιλοσοφικαῖς καὶ νομοθετικαῖς περὶ δικαίου ἀρχαῖς τοῦ ἑλληνικοῦ κόσμου, ῥυθμισθείσης ὅμως ταύτης ἐπὶ τὸ πρακτικώτερον. Ἀνεπτύχθη δ' ἰδίως τὸ Ῥωμαϊκὸν δίκαιον οὐ μόνον διὰ τῶν ἰδεῶν τῆς Στωϊκῆς φιλοσοφίας, ἧς εἰσιν ἀρχαὶ καὶ αὐτὰ τὰ ὑπὸ Οὐλπιανοῦ ἐν τοῖς Πανδέκταις ὑπάρχοντα νομικὰ ἀξιώματα, ἀλλ' ἠρανίσθη καὶ ἐκ τῶν νομοθετῶν τῆς Ἑλλάδος καὶ τῶν περὶ νόμων συγγραμμάτων τῶν φιλοσόφων αὐτῆς α), μηδὲ καὶ αὐτῆς τῆς ῥωμαϊκῆς Δωδεκαδέλτου ἐξαιρουμένης. Ἐν τοῖς Ἠθικοῖς λοιπὸν καὶ μάλιστα ἐν τοῖς Παραλλήλοις βίοις τοῦ Πλουτάρχου δύναταί τις οὐκ ὀλίγον σπουδάσαι τὸ ἐνοχικὸν δίκαιον, τὸ ποινικὸν δίκαιον, τὸ κληρονομικὸν δίκαιον, τὰ περὶ κτημάτων, περὶ πωλήσεως, δωρεᾶς, ἀγοραπωλησίας, τόκων, χρεῶν, συμβολαίων, συναλλαγμάτων, δασμῶν, ἐπικαρπίας, δουλείας, γάμων, διαζυγίων καὶ διοργανώσεως δικαστηρίων β). Τούτων δὲ πάντων ἦν ἐν γνώσει ὁ Πλούταρχος· ἔξη γὰρ εἰς ἐποχήν, καθ' ἣν πληρέστατα*

α) Πρὸς ἀπόδειξιν τοῦ μεγάλου ἀριθμοῦ τῶν ἀπολεσθέντων φιλοσοφικῶν συγγραμμάτων ἰστέον ὅτι ὁ Στωϊκὸς φιλόσοφος Χρύσιππος συνέγραψεν ὑπὲρ τὰ 705 συγγράμματα, ἀλλ' οὐδὲν τούτων σῴζεται. (Διογ. Λαερτ. Ζ, 189 κἑξ). οὐδὲ τὰ τοῦ Κλεάνθους περὶ Νόμων, Ἀγωγῶν καὶ Διαδικασίας ἐσῴθησαν. (Αὐτόθ. Ζ, 175). Ἔπιθι καὶ Διον. Ἁλικ. Χ, 52—60.

β) Ἰδοὺ καὶ ἓν θέμα λίαν σπουδαῖον, ὅπερ οἱ θεμιστοπόλοι πραγματευθῆναι δύνανται, τουτέστι „ἡ παρὰ Πλουτάρχῳ Νομικὴ ἐπιστήμη“.

Ἀλλὰ πᾶσαι αἱ ῥηθεῖσαι αὗται τῆς ψυχῆς ἀρεταί, ἄριστα ἐχούσης, τουτέστι τοῦ μὲν λογιστικοῦ ἡ φρόνησις καὶ σοφία, τοῦ

τὸ ἀστικὸν δίκαιον τῶν Ῥωμαίων μεμόρφωται, καὶ οὐχ ὡς ἁπλοῦς, οὐδ' ὡς ἰδιώτης, ἀλλ' ὡς πολιτικὸς ἀνὴρ καὶ ἀνθύπατος τῆς Ἰλλυρίδος, δι' ὃ ὤφειλε ταῦτα πάντα γινώσκειν. Ἀλλ' ἐκ πάντων τούτων ἑνίων μόνον μνημονεύομεν ἐκ τῶν συγγραμμάτων αὐτοῦ εἰς ἔνδειξιν ὅτι ὁ Πλούταρχος ἦν ὅλων ἐν γνώσει τοῦ ἀστικοῦ Ῥωμαϊκοῦ δικαίου.

Οὕτω ἐν μὲν Ἑλλάδι οἱ τοῦ Σόλωνος καὶ Λυκούργου νόμοι ἐλειτούργουν καλῶς πλὴν ὀλιγίστων ἐξαιρέσεων καὶ ἄριστοι ἐθεωροῦντο. Καὶ ἐν ᾧ τοῦτο μὲν Σόλων ἀπεῖπε τοῖς ἀγυναίοις εἶναι ἄρχοντας ἢ θεσμοθέτας, Λυκοῦργος δὲ ἄτιμον ἐκήρυξε τὸν μὴ συνελθόντα εἰς γάμου κοινωνίαν, τοῦτο δ' ἐπετρέπετο ἐν μὲν Ἀθήναις ὁ μεταξὺ ὁμοπατρίων ἀδελφῶν γάμος, ἐν δὲ Σπάρτῃ καὶ ὁ μεταξὺ ὁμομητρίων, ἔνθα ἔτι ἦν δίκη ἀγαμίου καὶ ὀψιγαμίου καὶ κακογαμίου [α]). Οὕτω Κίμων ὁ Μιλτιάδου συνεζεύχθη τὴν πρὸς πατρὸς αὐτοῦ ἀδελφὴν Ἐλπινίκην [β]). Ἀρχέπτολις δ' ὁ Θεμιστοκλέους ἔλαβεν ὡς γυναῖκα τὴν πρὸς πατρὸς αὐτοῦ ἀδελφὴν Μνησιπτολέμαν οὐκ οὖσαν ὁμομήτριον [γ]). Ὁ δὲ Ἀλκιβιάδης συνεζεύχθη τὴν Ἱππαρέτην ἐπὶ δέκα ταλάντοις καὶ τῇ ὑποσχέσει ἕτερα δέκα λαβεῖν, εἰ γένοιντο αὐτῷ παῖδες. Ἀλλ' ἡ σύζυγος αὐτοῦ Ἱππαρέτη ἀχθομένη τοῖς ὑπ' αὐτοῦ πραττομένοις μετέβη εἰς τοῦ ἄρχοντος δοῦσα αὐτῷ περὶ διαζυξέως ὑπόμνημα [δ]). Μόνον δὲ ἐν δυσὶ νόμοις τοῦ Σόλωνος καθάπτεται Πλούταρχος λέγων· „ἄξιον δ' ἀπορίας καὶ θαυμασμοῦ ἐστι τὶ παθὼν ὁ σοφὸς ἐκεῖνος Σόλων ἔγραψεν ἄτιμον εἶναι τὸν ἐν στάσει πόλεως μηδετέρας μερίδος γενόμενον [ε])". Πάντες γὰρ οἱ πολῖται ὀφείλουσι περὶ τῆς πόλεως μεριμνᾶν, ἢ ὡς μέλη αὐτῆς ἀνήκουσι [ζ]). Κατὰ δὲ τὴν εἰσαγωγὴν τοῦ νόμου τῆς σεισαχθείας ἐκοινώσατο τῶν φίλων, οἷς μάλιστα πιστεύων καὶ χρώμενος ἐτύγχανεν, ὅτι γῆν μὲν οὐ μέλλει κινεῖν, χρεῶν δὲ ποιεῖν ἀποκοπὰς ἔγνωκεν· οἱ δ' ἔργον ἀδικώτατον ἔπραξαν· ἐδανείσαντο γὰρ ὑποφθάσαντες ἀργύριον πολὺ παρὰ τῶν πλουσίων. Μετ' ὀλίγον δὲ χρόνον εἰς φῶς τοῦ νόμου προαχθέντος, οἱ μὲν ἐφάνησαν οἰκίας τε λαμπρὰς καὶ γῆν συνεωνημένοι πολλήν, ἐξ ὧν ἐδανείσαντο χρημάτων, ἅτε τὰ κτήματα καρπούμενοι καὶ τὰ χρήματα τοῖς δανείσασιν οὐκ ἀποδιδόντες· ὁ δὲ Σόλων αἰτίαν ἔσχε μεγάλην καὶ διαβολὴν συνάδικεῖν ἠδικημένοις [η]).

Ἐν δὲ Ῥώμῃ τοὐναντίον οὐκ ἐτηρεῖτο ἡ ἀκριβὴς τῶν νόμων ἐκτέλεσις, ἅτε τῆς διαφθορᾶς καὶ παραλύσεως τῶν ἠθῶν εἰσαχθείσης. Οὕτω ὁ Βροῦτος κατε-

α) Πλουτ. Λύσανδρ. 30.

β) Πλουτ. Κίμων 4.

γ) Πλουτ. Θεμιστοκλ. 32.

δ) Πλουτ. Ἀλκιβιάδ. 8.

ε) Πλουτ. Σόλων 20. Πολιτ. Παραγγ. 32. Περὶ τῶν ὑπὸ τοῦ Θείου βραδέως τιμωρ. 4.

ζ) Ὅρα ἀνωτέρω σελ. 26 σημ. 1.

η) Πλουτ. Σόλων 15. Πολιτ. Παραγγ. 13.

δὲ θυμοειδοῦς ἡ ἀνδρεία, τοῦ δὲ ἐπιθυμητικοῦ ἡ σωφροσύνη καὶ ἡ ἐκ τῶν τριῶν τούτων δικαιοσύνη, ὡς καὶ πᾶσαι αἱ ἄλλαι ἀρεταὶ

δίκασε τοὺς υἱοὺς αὐτοῦ ἄνευ δικαστικῶν τύπων οὐχὶ ὡς ὕπατος, ἀλλ' ὡς πατήρ α). Ὁ δὲ Κάτων ηὐτοκτόνησε μετὰ τὴν ἀνάγνωσιν τοῦ περὶ ἀθανασίας τῆς ψυχῆς διαλόγου τοῦ Πλάτωνος β). Οὕτω δ' ἐγένοντο αὐτόχειρες καὶ Ἰόβας, Πετρῆϊος, Βροῦτος ὁ νεώτερος, ἡ σύζυγος αὐτοῦ, Ἀντώνιος, Κλεοπάτρα, Σενέκας ὁ φιλόσοφος, Νέρων καὶ ἄλλοι. Ὁ Κικέρων διεζεύχθη τὴν σύζυγον αὐτοῦ Τερεντίαν εὐπορίας ἕνεκα πρὸς διάλυσιν δανείων ἐκ τῆς νέας προικός, συζευγνύμενος δευτέραν σύζυγον γ). Αἰμίλιος δὲ Παῦλος διεζεύχθη προβαλὼν πάντη ἀδικαιολόγητον αἰτίαν τὴν σοφὴν καὶ ὡραίαν Παπιρίαν, ἣ τὸν κλεινότατον αὐτῷ Σκηπίωνα τεκοῦσα καὶ Φάβιον Μάξιμον δ). Ὁ Κάτων ἀπέβαλε τὴν γυναῖκα αὐτοῦ Ἀττιλίαν ὡς ἀσχημονοῦσαν· γήμας δὲ τὴν Φιλίππου θυγατέρα Μαρκίαν παρεχώρησεν αὐτὴν τῷ Ὁρτησίῳ καὶ βραδύτερον παρέλαβεν αὐτὴν αὖθις ε). Τοῦτο δ' ἔπραξε, φαίνεται, κατά τινα τοῦ Νομᾶ νόμον, καθ' ὃν ὁ ἀνὴρ ἱκανῶς ἔχων παιδοτροφίας, ὑφ' ἑτέρου δὲ πεισθεὶς δεομένου τέκνων, ἐξίστατο τῆς γυναικὸς ἐκδόσθαι καὶ μετεκδόσθαι κύριος ὑπάρχων ζ). Οὐ μὴν ἀλλὰ καὶ ὑπ' αὐτῆς τῆς Λωδεκαδέλτου ἐπετρέπετο τὸ διαζύγιον (Ehescheidung).

Ἔτι δὲ ἐν Ἑλλάδι ὁ γάμος ἐθεωρεῖτο ἱερὸς πρὸς καλλιτεκνίαν καὶ ὡς ἕνωσις ἀνδρὸς καὶ γυναικὸς καὶ κοινωνία ἰσόβιος, θείου καὶ ἀνθρωπίνου δικαίου μετάδοσις. Διὸ καὶ Σόλων ὁ νομοθέτης ἀφεῖλε τῶν ἄλλων γάμων τὰς φερνάς, ἱμάτια τρία καὶ σκεύη μικροῦ νομίσματος ἄξια κελεύσας, ἕτερον δὲ μηδὲν ἐπιφέρεσθαι τὴν γάμου κοινωνοῦσαν. Οὐ γὰρ ἐβούλετο μισθοφόρον οὐδ' ὤνιον εἶναι τὸν γάμον, ἀλλ' ἐπὶ τεκνώσει καὶ χάριτι καὶ φιλότητι γίνεσθαι τὸν ἀνδρὸς καὶ γυναικὸς συνοικισμόν η). Οὐ μὴν ἀλλὰ καὶ τὴν τῶν Ῥωμαίων παλλακείαν, ἀποστρεφόμενος καὶ σοφῶς βουλόμενος τὸν νόμιμον ἐνθαρρύνειν γάμον προσέταξε τὰ ἐξ ἑταιρῶν γενόμενα τέκνα μὴ εἶναι ὑπόχρεω τοὺς πατέρας αὐτῶν τρέφειν, ἡγούμενος ὅτι ὁ ἐν γάμῳ παρορῶν τὸ καλὸν οὐ τέκνων ἕνεκα δῆλός ἐστιν, ἀλλ' ἡδονῆς ἀγόμενος γυναῖκα τόν τε μισθὸν ἀπέχει καὶ παρρησίαν αὐτῷ πρὸς τοὺς γενομένους οὐκ ἀπολέλοιπεν, οἷς αὐτὸ τὸ γενέσθαι πεποίηκεν ὄνειδος θ). Ὁ δὲ τῆς Σπάρτης νομοθέτης Λυκοῦργος ἐπ' ἴσης ἄνευ προικὸς ἐλθεῖν εἰς γάμου κοινωνίαν τὰς γυναῖκας νόμῳ ἐπέβαλεν, ἀλλὰ πεπείρους καὶ ὀργώσας καὶ πρὸς τέκνωσιν εὐειδῶν καὶ ἀγαθῶν παίδων σκοπούσας· οὐχ ἧττον ὅμως ἐπέτρεψεν ἐν τοῖς δημοσίοις πράγμασι καὶ γνώμης μεταλαμ-

α) Πλουτ. Ποπλίκ. 6.
β) Πλουτ. Κάτων 68.
γ) Πλουτ. Κικέρων 41.
δ) Πλουτ. Αἰμίλ. Παῦλος 5.
ε) Πλουτ. Κάτων 24 καὶ 25.
ζ) Πλουτ. Λυκουργ. καὶ Νομᾶ συγκρ. 3.
η) Πλουτ. Σόλων 20.
θ) Αὐτόθι 22.

οὐκ ἀτάθειαί εἰσιν, ἀλλὰ συμμετρίαι παθῶν καὶ ἐλλείψεως καὶ ὑπερβολῆς μεσότητες· οὔτε γὰρ δυνατὸν οὔτε ἄμεινον ἐξαιρεῖν

βάνειν καὶ παρρησιάζεσθαι περὶ τῶν μεγίστων καὶ μετεδίδου μόνον τῷ πείσαντι τὴν κοινωνίας εἰς τέκνωσιν α). Τοὐναντίον δ' ἐν Ῥώμῃ συνέβαινεν. Ὁ ἀνὴρ ἐλάμβανεν ἐπὶ σκοπῷ ὡς σύζυγον γυναῖκα πλουσίαν μὲν ἀλλ' ἀσελγῆ, ἵνα ἔπειτα διαζευχθῇ αὐτὴν ἐπὶ προφάσεσι μηδαμιναῖς καὶ αἰτιάσεσι μυρίων παρεκτροπῶν καὶ μὴ ἀποδῷ τὴν ἀνήκουσαν αὐτῇ προῖκα, ὡς ἐν Ἑλλάδι ἐγίνετο, ὥστε ἀναγκάζεσθαι τὰς γυναῖκας εἰς μείστας ἐμπίπτειν ἀκολασίας β).

Προκειμένου δὲ περὶ δουλείας ἐν οὐδενὶ τῶν συγγραμμάτων αὐτοῦ κατηνέχθη κατὰ δούλων Πλούταρχος, ἀλλ' ἀνεγνώριζε τὰ ἀνεκλοίητα τῆς ἐλευθερίας αὐτῶν δικαιώματα, ὥστε οὐδαμῶς περιυβρίζειν αὐτούς γ). Ἡ δουλεία, φαίνεται, ἐπήγασεν ἐκ τοῦ ἐγωϊσμοῦ καὶ τῆς πλεονεξίας τοῦ ἀνθρώπου, ἐπεκτάθείσης καὶ ἐπὶ τοῦ ὁμοίου αὐτοῦ, ἢ ὑπὸ τοῦ νοημονεστέρου καὶ ἰσχυροτέρου κατὰ τοῦ ἀδυνατωτέρου· βραδύτερον δὲ κατέστη γενικὴ ἕξις χάριν τοῦ συμφέροντος καὶ τέλος καὶ διὰ τῶν νόμων καθιερώθη. Τοῦτο δ' ἐγίνετο μάλιστα πολὺ πρὸ τῆς Σόλωνος νομοθεσίας, ὅτε πολλοὶ ὀφειλέται ὑπὸ τῶν δανειστῶν αὐτῶν καταπιεζόμενοι ἠναγκάζοντο τοὺς ἰδίους παῖδας πωλεῖν, μηδενὸς νόμου κωλύοντος τοῦτο, καὶ τὴν πόλιν φεύγειν διὰ τὴν χαλεπότητα τῶν δανειστῶν δ). Καὶ οἱ μὲν Ἕλληνες βραδύτερον οὐδέποτε τοιοῦτον ἐπὶ τῶν δούλων δικαίωμα ἔσχον, θεωροῦντες αὐτοὺς οὐχ ἧττον ὡς πλάσματα τοῦ Θεοῦ καὶ τὴν δουλείαν παρὰ φύσιν ὑπάρχουσαν. Προσεπιμαρτυροῦσι δὲ τῷ λόγῳ μου καὶ πολλοὶ τῶν Ἑλλήνων συγγραφέων, ὡς Σοφοκλῆς ε) λέγων· „Εἰ σῶμα δοῦλον, ἀλλ' ὁ νοῦς ἐλεύθερος", καὶ Εὐριπίδης ζ). „Νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι", καὶ Φιλήμων η). „Κἂν δοῦλος ᾖ τις, οὐθὲν ἧττον, δέσποτα, ἄνθρωπος οὗτός ἐστι" καὶ Χρύσιππος θ). „Οὔτε γὰρ ἀλλοτριῶσαι εἰκὸς ἦν αὑτοῦ τὸ ζῷον (καὶ ἄνθρωπον), οὔτε ποιῆσαι ἂν αὐτό, μήτε ἀλλοτριῶσαι μήτε οὐκ οἰκειῶσαι" ἀλλὰ καὶ Πλάτων· „Ἡμεῖς δὲ καὶ οἱ ἡμέτεροι μιᾶς μητρὸς πάντες ἀδελφοὶ φύντες οὐκ ἀξιοῦμεν δοῦλοι οὐδὲ δεσπόται ἀλλήλων εἶναι, ἀλλ' ἡ ἰσογονία ἡμᾶς ἡ κατὰ φύσιν ἰσονομίαν ἀναγκάζει ζητεῖν κατὰ νόμον, καὶ μηδενὶ ἄλλῳ ὑπείκειν ἀλλήλους ἢ ἀρετῆς δόξῃ καὶ φρονή-

α) *Πλουτ. Λυκουργ. καὶ Νομᾶ συγκρ.* 3 *καὶ* 5. *Πρβλ. καὶ Θησέως καὶ Ῥωμύλ. συγκρ.* 6.

β) Ἐπιθι Tacit. Annales V, 1. Seneca, epist. 114, de provid. de Benefic. III, 16. Cicero pro Aulo Cluentio 61. Iuvenalis Satyr. VI, 142. Plaut. Mercator, *πρᾶξ.* 4. *σκην.* 5. *κτλ.*

γ) *Πλουτ. περὶ παίδ. ἀγωγῆς* 10.

δ) *Πλουτ. Σόλων* 13. 23.

ε) *Σοφοκλῆς παρὰ Στοβαίῳ Ἀνθολ. ἐκδ.* Meineke, *τόμ. Β' σελ.* 365.

ζ) *Εὐριπίδ. Ἑκάβ.* 288.

η) *Στοβ. Ἀνθολ. Β, σελ.* 365. *Πρβλ. καὶ Μενάνδρου καὶ Φιλήμονος παραλιπόμενα ὑπό* Meineke *σελ.* 364.

θ) *Διογέν. Λαερτ. Ζ,* 1.

παντάπασι τὸ πάθος, ἀλλ' ὅρον τινὰ καὶ τάξιν αὐτῷ ἐπιτιθέναι· τότε δὲ τὰ πάθη ὀρθῶς κατευθυνόμενα καὶ περιστελλόμενα συν-

---

σεως α)." Τοιαύτην γνώμην ἐκφράζει καὶ ἐν Πολιτείᾳ β) ἀλλ' ἐν τοῖς Νόμοις γ) αὐτοῦ ἐκτίθησι τὴν ἔννοιαν τῶν τότε ἰσχυόντων νόμων κατὰ δούλων καὶ οὐχὶ ἀτομικὴν γνώμην· ἄλλως τε καὶ αὕτη τυγχάνει προγενεστέρα οὖσα, ἅ τε πρῶτον τὰ περὶ Νόμων καὶ ἔπειτα τὰ περὶ Πολιτειῶν συγγραψάμενος. Ἔτι δὲ καὶ Ἀριστοτέλης αὐτὸς δ) οὐ δοκεῖ μοι εἰς τοῦτο λίαν κατακριτέος εἶναι· οὐ γὰρ ἀπέφηνε τὴν φύσιν ἐπὶ τούτῳ γεννᾶν τοὺς δούλους, οὐδὲ τὴν δουλείαν εἶναι τοῦ φυσικοῦ δικαίου, ἀλλὰ συνέπειαν τῆς ἐλαττωματικῆς νοητικῆς καταστάσεώς τινων, οἷς συμφέρον ἐστὶν ἄλλοις δουλεύειν καὶ ὑπείκειν, ἅτε τοιαύτης οὔσης καὶ τῆς σχέσεως τῶν βαρβάρων πρὸς τοὺς Ἕλληνας ε)· οὕτω γὰρ ἡ φύσις κατέστησεν αὐτούς, ψευδωλὴ οὖσα τῶν ἑαυτῆς δώρων. Ἡ γνώμη αὕτη τοῦ Ἀριστοτέλους κολάζεται ἔτι μᾶλλον, παραβαλλομένη πρὸς τὴν τοῦ Φιλήμονος ζ) λέγοντος· „Δοῦλοι βασιλέων εἰσὶν οἱ ἄνθρωποι, ὁ βασιλεὺς Θεῶν, ὁ Θεὸς ἀνάγκης."

Οἱ δὲ Ῥωμαῖοι πάνυ κατεχρῶντο τοῖς δούλοις διὰ τρόπων ψυχωδεστάτων. Οὕτω Λεύκιος Φλαμινῖνος χαριζόμενος τῷ ἐρωμένῳ αὐτοῦ, ὡς μήπω ἰδόντι ἄνθρωπον φονευόμενον, προσέταξεν ἀποκόψαι τοῦ δούλου τὸν τράχηλον. Τούτου δ' ἕνεκα Κάτων τιμητὴς γενόμενος καὶ τὴν σύγκλητον καθαίρων ἀπήλασε τῆς βουλῆς τὸν Λεύκιον, ἐφ' ᾧ Κόϊντος καὶ Κάτων εἰς ἔχθραν περιέστησαν η). Πολίων δ' ὁ Αὐγούστῳ φίλος διετήρει ἐν τοῖς ἰχθυοτροφείοις αὐτοῦ μυραίνας ὑπερμέτρου μεγέθους, ὧν πρὸς τροφὴν τοὺς δούλους αὐτοῦ ἔρριπτεν θ). Κικέρων δὲ λέγει· „δεῖ τοὺς διὰ τῆς ἀρχῆς κρατοῦντας τῶν διὰ βίας ὑποταχθέντων μεταχειρίζεσθαι ὠμότητα, οἵαν οἱ δεσπόται πρὸς οἰκέτας ι)."

Ἀλλ' ἐπιλείψει με ὁ χρόνος πλειότερον ἐπὶ τοῦ θέματος τούτου τῆς παρὰ Πλουτάρχῳ ἐπιστήμης τοῦ Δικαίου ἐπεκταθῆναι· τὸ παρὸν ὅμως ἀγαπῶ τούτοις, ἐπιφυλασσόμενος ἐν τῇ ἄλλῃ περὶ Πλουτάρχου πραγματείᾳ πλείονα περὶ πάντων τῶν παρ' αὐτῷ εἰρημένων κεφαλαίων τοῦ Ἀστικοῦ δικαίου γράψαι.

α) Πλάτ. Μενέξ. 239, A. Πρβλ. καὶ Ξενοφ. Ἀθην. Πολιτ. Α, 10 καὶ 12. καὶ Ἀθήναιον ΣΤ'.

β) Πλάτ. Πολιτ. Ε', 469, C.

γ) Πλάτ. Νόμ. Θ', 854 D. 865, C—D κέξ. 868, A. 869, D.

δ) Ἀριστοτ. Πολιτ. Α, β, 14 καὶ 15.

ε) Ἀριστ. Πολ. Α, 4.

ζ) Στοβαίου Ἀνθολ. Β, 362. Πρβλ. δ' ἔτι Μενάνδρου καὶ Φιλήμονος παραλειπόμενα σελ. 366.

η) Πλουτ. Τίτος Κόϊντος Φλαμινῖνος 18.

θ) Seneca de Ira III, 40. de Clementia I, 18. Plin. IX, 39.

ι) Cicero, de Officiis B, 7, 24: „Iis, qui vi oppressos imperio coërcent, est (sit) sane adhibenda saevitia, ut heris in famulos."

τείνουσι πρὸς ὑποστήριξιν τῆς ἀρετῆς [1]). Ἡ τῶν παθῶν δὲ τούτων μεσότης κίνησις οὖσα καὶ δύναμις περὶ τὸ ἄλογον τὰς ἐκλύσεις

1) Ἐνταῦθα φαίνεται Πλούταρχος προσειληφὼς τοῦτο ἐκ τῆς φιλοσοφίας τῶν Στωϊκῶν ὡς δοξάζων σὺν αὐτοῖς τὴν ἀπάθειαν καὶ ἀταραξίαν, ἀλλ' οὐχὶ καὶ ὡς ἔσχατον καταφύγιον τὴν αὐτοκτονίαν. Σφάλλεται δέ, οἶμαι, Zeller α) ἡγούμενος τὸν Πλούταρχον ἐν ἀνάγκῃ τὴν αὐτοκτονίαν ἐπιτρέπειν ὡς τὴν τελευταίαν διέξοδον. Τοῦτο μόνον τοῖς Ἐπικουρείοις καὶ Στωϊκοῖς ἔξεστι σκοπεῖν. οἳ οὐδεμίαν βίαν δύνασθαι τὴν τοῦ ἀνθρώπου βούλησιν καταβάλλειν ἐδόξαζον, δι' ὃ εὐχαρίστως ὑπέκυπτον ταῖς παντοδαπαῖς τῆς τύχης περιπετείαις· ἄλλως τε καὶ κατ' αὐτοὺς ἡ τοῦ ἀνθρώπου ἐλευθερία ἀσυμβίβαστος ἦν τῇ εἱμαρμένῃ. Ὁ Πλούταρχος μνημονεύει μόνον τῆς αὐτοκτονίας Κάτωνος τοῦ νεωτέρου μετὰ τὴν ἀνάγνωσιν τοῦ περὶ ψυχῆς διαλόγου τοῦ Πλάτωνος β), ἀλλ' οὐκ ἐκφέρει αὐτὴν καὶ ὡς ἰδίαν αὐτοῦ γνώμην· ἀφηγεῖται ὅμως τὸ γεγονὸς τοῦ Κάτωνος, ὃν δοκεῖ μοι μᾶλλον ἐν σφοδρότητι πάθους καὶ ταραχῇ ψυχῆς εἶναι Καίσαρι ἐμπαθείας καὶ χόλου ἕνεκα. Οὕτω γὰρ ποιεῖται λόγον καὶ περὶ ἀγαμίας ἢ διαλύσεως γάμων, ὡς ἔδοξε τοῦτο μόνον τοῖς Στωϊκοῖς, ἀλλ' αὐτὸς οὗτος οὐ συμμερίζεται τῆς γνώμης ταύτης. Ὑπὸ τὸ πνεῦμα τοῦτο ἀξιομνημόνευτά εἰσι καὶ τὰ δύο ἐπίλοιπα χωρία, ἐν οἷς κατακρίνει τὴν αὐτοκτονίαν γ). Πῶς γὰρ δύναταί τις τὴν ὑποστήριξιν τῆς ἰδέας ταύτης ἀποδιδόναι Πλουτάρχῳ τῷ θεοσεβεστάτῳ καὶ ἠθικωτάτῳ, ὃς καὶ ἀθανασίᾳ ψυχῆς καὶ μελλούσῃ ζωῇ δ) καὶ κολάσει ἁμαρτωλοῦ πιστεύει; Οὐκ οἰόν τε οὖν ἐστι εἰς τοιοῦτον σφάλμα περιπεσεῖν τὸν Πλούταρχον, ὃς μάλιστα τὴν φιλοσοφίαν αὐτοῦ ἠδραίωσεν ἐπὶ Πλάτωνος καὶ Ἀριστοτέλους, οἳ σφόδρα τῆς αὐτοκτονίας κατεγλωττίζουσιν. Ὁ μὲν Πλάτων ἐν Φαίδωνι ἀποφαίνεται· „Ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν καὶ ἀποδιδράσκειν“ καὶ „Λέγω δέ, ὃς ἂν ἑαυτὸν κτείνῃ, τὴν τῆς εἱμαρμένης βίᾳ ἀποστερῶν μοῖραν, μήτε πόλεως ταξάσης δίκην, μήτε περιωδύνῳ ἀφύκτῳ προσπεσούσῃ τύχῃ ἀναγκασθείς, μηδὲ αἰσχύνης τινὸς ἀπόρου καὶ ἀβίου μεταλαχών, ἀργίᾳ δὲ καὶ ἀνανδρείας δειλίᾳ ἑαυτῷ δίκην ἄδικον ἐπιθῇ· τούτῳ δὴ τὰ μὲν ἄλλα Θεὸς οἶδεν ἃ χρὴ νόμιμα γίγνεσθαι ... Τάφους δ' εἶναι τοῖς οὕτω φθαρεῖσι πρῶτον μὲν κατὰ μόνας μηδὲ μεθ' ἑνὸς ξυντάφου, εἶτα ... θάπτειν ἀκλεεῖς αὐτοὺς μήτε στήλας μήτε ὀνόμασι δηλοῦντας τοὺς τάφους ε).“ Ὁ δ' Ἀριστοτέλης ὁμοίως τὴν αὐτοκτονίαν καλεῖ αὐτόχρημα δειλίαν καὶ ἀνανδρείαν ζ). Ἀλλ' οἱ Στωϊκοὶ φιλόσοφοι, οἵτινες ὁμολογουμένως εἷς τε τὴν ἀνάπτυξιν τοῦ ἀνθρώπου καὶ εἰς

α) Zeller, Die Philosophie der Griechen, 3. Teil, 2. Abtl., 3. Aufl., S. 187.

β) Πλουτ. Κάτων κ. 68—70.

γ) Πλουτ. Κλεομένης 31 καὶ Αἰμίλ. Παῦλος 34.

δ) Πρβλ. Πολυβ. ΣΤ, 56. Ἄρνησις δὲ μελλούσης ζωῆς παρὰ Κικέρωνι (Cicero pro Cluent. 61) καὶ Σαλλουστίῳ (Sallust. Catilin. 51).

ε) Πλάτ. Νόμ. Θ, 873, C—E.

ζ) Ἀριστοτ. Ἠθικὰ Νικομ. Γ, 7.

καὶ τὰς ἐπιτάσεις καὶ ὅλως τὸ μᾶλλον καὶ τὸ ἧττον ἐξαιρεῖ τῆς ὁρμῆς εἰς τὸ μέτριον καὶ ἀναμάρτητον καθιστᾶσα τῶν παθῶν ἕκαστον. Αὐτίκα τὴν μὲν φρόνησιν μεσότητά [1]) φασιν εἶναι πανουργίας καὶ εὐηθείας, ὧν ἡ μέν, ὑπερβολή, ἡ δέ, ἔλλειψις τοῦ λογιστικοῦ ἐστι· τὴν δὲ ἀνδρείαν μεσότητα δειλίας καὶ θρασύτητος, ὧν ἡ μέν, ἔλλειψις, ἡ δέ, ὑπερβολὴ τοῦ θυμοειδοῦς ἐστι· σωφροσύνην δὲ καὶ δικαιοσύνην, τὴν μὲν περὶ τὰ συμβόλαια, μήτε πλέον νέμουσαν αὐτῇ τοῦ προσήκοντος μήτε ἔλαττον, τὴν δὲ εἰς τὸ μέσον ἀπαθείας καὶ ἀναισθησίας καὶ ἀκολασίας ἀεὶ τὰς ἐπιθυμίας καθιστᾶσαν. Οὐ γὰρ ἂν διέφερε σωφροσύνης ἐγκράτεια καὶ ἀκολασίας ἀκρασία περὶ τὰς ἡδονὰς καὶ τὰς ἐπιθυμίας, εἰ ταυτὸν ἦν ἧς ψυχῆς, ὃ ἐπιθυμοῦν, ὅ τε κρίνειν πέφυκεν, ὃ τῷ λογιστικῷ τῇ ἐπικουρείᾳ τοῦ θυμοειδοῦς ἀνήκει.

Τέλος τρία ταῦτά φασι περὶ τὴν ψυχὴν ἐπάρχειν, δύναμιν, πάθος, ἕξιν. Ἡ μὲν οὖν δύναμις ἀρχὴ καὶ ὕλη τοῦ πάθους, οἷον ὀργιλότης, αἰσχυντηλία, θαρραλεότης· τὸ δὲ πάθος, κίνησίς τις ἤδη τῆς δυνάμεως, οἷον ὀργή, θάρσος, αἰδώς, θράσος· ἡ δ' ἕξις, ἰσχὺς καὶ κατασκευὴ τῆς περὶ τὸ ἄλογον δυνάμεως ἐξ ἔθους ἐγγινομένη, κακία μέν, ἂν φαύλως, ἀρετὴ δέ, ἂν καλῶς ὑπὸ τοῦ λόγου παιδαγωγηθῇ τὸ πάθος. Τοῦτο δὲ συμβαίνει, ὅταν τὸ ἄλογον μάχηται τῷ λογισμῷ, ὥστε μὴ κρατεῖν ἀλύπως μήτε κρατεῖσθαι πεφυκός, καὶ τότε εὐθὺς εἰς δύο διίστησι τῇ μάχῃ τὴν ψυχὴν καὶ ποιεῖ τὴν διαφορὰν πρόδηλον, κἀντεῦθεν προκύπτουσιν αἱ διάφοροι ἀρεταί [2]), ὅταν τὸ λογικὸν τῆς ψυχῆς τοῦ ἀλόγου κα-

τὴν μόρφωσιν τοῦ Ῥωμαϊκοῦ δικαίου οὐκ ὀλίγον συνέτειναν μεριμνῶντες, ἵνα αἱ τῶν ἀνθρώπων πράξεις οὐ μόνον νόμιμοι καὶ δίκαιαι, ἀλλὰ καὶ ἔντιμοι ὦσιν, ἐδικαιολόγουν ἀφ' ἑτέρου καὶ ὑπέθαλπον τὴν αὐτοκτονίαν δοξάζοντες· .. Εὐλόγως τέ φασιν ἐξάξειν ἑαυτὸν τοῦ βίου τὸν σοφὸν καὶ ὑπὲρ πατρίδος καὶ ὑπὲρ φίλων, κἂν ἐν σκληροτέρᾳ γένηται ἀλγηδόνι ἢ πυρώσεσιν ἢ νόσοις ἀνιάτοις α)."

1) *Τὴν κατὰ μεσότητα διαίρεσιν τῶν ἀρετῶν ἔπιθι παρ' Ἀριστοτέλει Ἠθικὰ Εὐδήμ. Β.* 3.

2) *Αἱ ἀρεταὶ εἰσιν ἠθικαὶ καὶ διανοητικαί, ἤτοι αἱ μὲν τοῦ ἤθους, αἱ δὲ τῆς διανοίας ἀρεταί (Ἀριστοτ. Ἠθ. Νικ. Β*, 6 καὶ 7). *Λιττῆς δὲ τῆς ἀρετῆς οὔσης, τῆς μὲν διανοητικῆς, τῆς δὲ ἠθικῆς, ἡ μὲν διανοητικὴ τὸ πλεῖον ἐκ διδασκαλίας ἔχει καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν, διόπερ ἐμπειρίας δεῖται καὶ*

α) *Διογ. Λαερτ. Ζ*, 130.

τισχύσῃ, καὶ αἱ παντοδαπαὶ κακίαι, ὅταν τοὐναντίον τὸ ἄλογον αὐτῆς ἐν ἰσχύϊ διατελῇ. Δι' ὃ τὴν ἀρετὴν [1]) τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς διάθεσίν τινα καὶ δύναμιν γεγενημένην ὑπὸ λόγου, μᾶλλον δὲ λόγον οὖσαν αὐτὴν ὁμολογούμενον καὶ βέβαιον καὶ ἀμετάπτωτον ὑποτίθενται· καὶ νομίζουσιν οὐκ εἶναι τὸ παθητικὸν καὶ ἄλογον διαφορᾷ τινι καὶ φύσει ψυχῆς τοῦ λογικοῦ διακεκριμένον, ἀλλὰ τὸ αὐτὸ τῆς ψυχῆς μέρος, ὃ δὴ καλοῦσι διάνοιαν καὶ ἡγεμονικόν, διόλου τρεπόμενον καὶ μεταβάλλον ἔν τε τοῖς πάθεσι καὶ ταῖς καθ' ἕξιν ἢ διάθεσιν μεταβολαῖς, κακίαν τε γίνεσθαι καὶ ἀρετὴν καὶ μηδὲν ἔχειν ἄλογον ἐν ἑαυτῷ.

Καὶ καθ' ὅλου ἡ ἀρετὴ μετέχει θείας φύσεως [2])· ἀπογνῶναι γὰρ παντάπασι τὴν θειότητα τῆς ἀρετῆς ἀνόσιον καὶ ἀγεννές, οὐρανῷ δὲ μιγνύειν γῆν ἀβέλτερον. Δεῖ δὲ τὰς ἀρετὰς παντάπασιν οἴεσθαι κατὰ φύσιν καὶ δίκην θείαν. Ἡ δ' οὖν ἀρετὴ καὶ τέχνης περίεστι καὶ μελέτης ἁπάσης, οὐδέποτε δ' ὑβρισθῆναι ὑπὸ τῆς τύχης δυναμένην. Ἡ δὲ ἄσκησις τῆς ἀρετῆς μέγιστον μέρος ἐστὶ καὶ μεγίστην ἐπὶ πάντα τοῖς ἐθισθεῖσι δύναμιν προστίθησι [3]). Φύσει γὰρ ἀνθρωπος οὔτε γέγονεν οὔτ' ἔστιν ἀνήμερον ζῷον οὐδ' ἄμικτον, ἀλλ' ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος, ἔθεσι δὲ καὶ τόποις καὶ βίων μεταβολαῖς ἐξημεροῦται [4]) καὶ θηρία

χρόνου· ἡ δ' ἠθικὴ ἐξ ἐθους περιγίνεται, ὅθεν καὶ τοὔνομα ἔσχηκε μικρὸν παρεγκλίνον ἀπὸ τοῦ ἔθους. (Αὐτόθ. *B*, 1. *Πρβλ.* καὶ Εὐστάθιον εἰς Ὁμήρου Ἰλιάδα *Z*, 444.)

1) Ἡ τῆς ἀρετῆς κτῆσις οἷς ἂν ἀκιβδήλως ταῖς διανοίας συναυξηθῇ, μόνη μὲν συγγηράσκει, πλούτου δὲ κρείττων, χρησιμωτέρα δ' εὐγενίας ἐστί, τὰ μὲν τοῖς ἄλλοις ἀδύνατα δυνατὰ καθιστᾶσα, τὰ δὲ τῷ πλήθει φορερὰ θαρσαλέως ὑπομένουσα, καὶ τὸν μὲν ὄκνον ψόγον, τὸν δὲ πόνον ἔπαινον ἡγουμένη. (Ἰσοκρ. πρὸς Δημον. *β*, 7.)

2) Nach Pythagoras war die Tugend Harmonie, worunter er ohne Zweifel die Zusammenstimmung des vernünftigen und unvernünftigen Teiles im Innern des Menschen verstand, die er durch den Gebrauch der Musik zu bewirken suchte. (Fr. Jacobs, Vermischte Schriften, 3. Teil, S. 151. *Πρβλ.* καὶ S. Ritters, Geschichte der Pythagor. Philos., S. 228 *κἑξ.*)

3) *Πρβλ. Πλουτ. Ρωμυλ.* 28. *Θησ.* 8. *Κλεομέν.* 39. *Φιλοποίμ.* 14.

4) Ἡ ἐντελὴς τῶν ἠθῶν ἐξημέρωσις καὶ ἡ νηφάλιος ἀρετὴ τῶν νέων ἐν Ἑλλάδι τὸ πάλαι ἦν εἰς τὸ ἄκρον ἄωτον τῆς ἀναπτύξεως, ὡς ἐκ τῶν ἑπομένων δηλοῦται. Daher war es herkömmlich, dafs die Jünglinge sich in Gegenwart der Bejahrteren zurückhaltend zeigten, ihnen auf der Strafse aus dem Wege traten, und ihnen in Versammlungen ihre Plätze einräumten. An

διαίτης κοινωνοῦντα πραοτέρας ἐκδύεται τὸ ἄγριον καὶ χαλεπόν, καὶ οἱ τραχύτατοι πῶλοι ἄριστοι ἵπποι γίνονται, ὅταν ἧς προσήκει τύχωσι παιδείας καὶ καταρτύσεως, καίπερ πολλάκις τῆς φύσεως οὐκ οὔσης ἡμέρου, ἀλλ᾽ ἐπαμπεχομένης λογισμῷ διὰ τὴν ἀνάγκην. Ἡ δὲ κακία διατίθησι πάντας ἀνθρώπους παντοίους, αὐτοτελής τις οὖσα τῆς κακοδαιμονίας δημιουργός· οὔτε γὰρ ὀργάνων οὔτε ὑπηρετῶν ἔχει χρείαν [1]). Καθ᾽ ὅλου μὲν γὰρ ὥσπερ πολυάγκιστρον ἡ κακία τοῖς ἐξηρτημένοις αὐτοῖς πάθεσι κινουμένη δεῦρο κἀκεῖσε πολλὰς πρὸς ἄλληλα συναφὰς καὶ περιπλοκὰς ἐνδίδωσι· ταῦτα δὲ ὥσπερ νοσήματα συμπαθεῖ ταῖς ἀλλήλων φλεγμοναῖς. Δι᾽ ὃ δίχα πάσης παρασκευῆς τῇ ψυχῇ συνελθοῦσα συνέτριψε καὶ κατέβαλε, λύπης ἐνέπλησε, θρήνων, βαρυθυμίας, μεταμελίας τὸν ἄνθρωπον· ὥστε ἡ κακία καὶ πυρὸς καὶ σιδήρου βιαιοτέρα ἐστίν. Ἔτι δ᾽ ἡ κακία ποιεῖ κακοδαίμονας τοὺς ἀνάνδρους καὶ ἀλογίστους, τοὺς εὐθρύπτους καὶ ἀγυμνάστους, τοὺς ἐκ νηπίων ἃς ἔχουσι δόξας φυλάττοντας. Τοῦθ᾽ ἕνεκα πτοεῖ πλουτοῦντας, εὐφοροῦντας, κληρονομοῦντας· ἐν γῇ, διὰ θαλάττης ἐνδέδυκε, προσπέφυκεν, ἐκτήκουσα ταῖς ἐπιθυμίαις, διακαίουσα τοῖς θυμοῖς, συντρίβουσα ταῖς δεισιδαιμονίαις, διασύρουσα τοῖς ὀφθαλμοῖς, βαρεῖα συνέκδημος οὖσα δι᾽ ἀλαζονείαν, καὶ πολυτελὴς σύνδειπνος ὑπὸ λιχνείας, καὶ σύγκοιτος ὀδυνηρά, φροντίσι καὶ μερίμναις καὶ ζηλοτυπίαις ἐκκόπτουσα τὸν ὕπνον καὶ διαφθείρουσα, ἅτε ἀεὶ τοῖς σπλάγχνοις συνοικοῦσα καὶ νύκτωρ καὶ μεθ᾽ ἡμέραν προσπεφυκυῖα. Πολλὰ γὰρ περὶ τὸ σῶμα νοσήματα καὶ πάθη

---

den schönsten und edelsten Jünglingen wird ihre jungfräuliche Blödigkeit [a]) gerühmt; wie sie mit gesenkten Blicken einhergingen, die Arme in den Mantel gewickelt, wortarm in Gegenwart älterer Männer, und errötend, wenn zu ihnen gesprochen wurde. Und aus dieser blöden Jugend erwuchsen die Männer, die den Staat im Krieg und Frieden lenkten; dem einheimischen Tyrannen und dem auswärtigen Feinde kühn in die Augen sahen, und lange Jahrhunderte durch Weisheit und Beredsamkeit, durch redende und bildende Kunst belehrt und entzückt haben. (Jacobs, Vermischte Schriften, 3. Teil, S. 160. *Πρβλ. καὶ* S. 120 *κέξ.* *Ἔπιθι καὶ* Cramer, Geschichte der Erziehung und des Unterrichts, 1. Band, S. 285.

1) *Πρβλ. Πλουτ. Πομπ.* 28. *Θεμιστ.* 2. *Σερτωρ.* 10. *Εἰ αὐτάρκ. ἡ κακ. πρὸς κακοδ.* 2. *Φιλοπ.* 3.

---

a) *Ἡ λ. τοῦ συγγραφέως* Blödigkeit *διορθωτέα εἰς* Schüchternheit.

φύσει ἀνίησιν ἐξ ἑαυτοῦ ὁ ἄνθρωπος καὶ προσπίπτοντα δέχεται θύραθεν· ἂν δ᾽ αὐτὸν ἔνδοθεν ἀνοίξῃ, ποικίλον τι καὶ πολυπαθὲς κακῶν ταμιεῖον εὑρήσει καὶ θησαύρισμα, οὐκ ἔξωθεν ἐπιρρεόντων, ἀλλ᾽ ὥσπερ ἐγγείους καὶ αὐτόχθονας πηγὰς ἐχόντων, ἃς ἀνίησιν ἡ κακία πολύχυτος καὶ δαψιλὴς οὖσα τοῖς πάθεσιν. Ἀλλ᾽ αἱ ἐν ἀνθρώποις κακίαι ἀποτελέσματά εἰσι πολλάκις οὐ μόνον τῆς ἀπαιδευσίας, ἀλλὰ καὶ τῆς φύσεως αὐτῶν· τρία γὰρ δεῖ συνδραμεῖν εἰς τὴν παντελῆ δικαιοπραγίαν, φύσιν, καὶ λόγον ἢ μάθησιν, καὶ ἔθος ἢ ἄσκησιν. Οὐ μὴν ἀλλὰ καὶ τῶν τεκόντων τὰ σφάλματα διαιωνίζονται πολλάκις καὶ εἰς τοὺς ἐκγόνους τρέπουσι. Τέλος μετ᾽ ἀρετῆς μὲν καὶ δίαιτα πᾶσα καὶ βίος ἄλυπός ἐστι καὶ ἐπιτερπής· ἡ δὲ κακία καὶ τὰ λαμπρὰ φαινόμενα καὶ πολυτελῆ καὶ σεμνὰ μιγνυμένη λυπηρὰ καὶ ναυτιώδη καὶ δυσπρόσδεκτα παρέχει τοῖς κεκτημένοις· ὅθεν διὰ παντὸς τὴν κακίαν φευκτέον καὶ τῆς ἀρετῆς μόνον ἐπιδιωκτέον [1]).

1) *Ὁ Πλούταρχος συνίστησιν ἡμῖν τὴν ἀποφυγὴν τῶν κακιῶν καὶ τὴν ἐπιδίωξιν τῶν ἀρετῶν ἐκείνων, αἵτινες ὡς κανόνες τῷ βίῳ τοῦ ἀνθρώπου χρησιμεύουσιν. Οὐ φιλοσοφεῖ δὲ πολὺ ἐπὶ τῆς ἠθικῆς αὐτοῦ, ἥτις συνῳδὰ τῇ ἠθικῇ τοῦ Πυθαγόρα προτίθεται βίον ἀνθρώπου εὔκοσμον καὶ ἁρμονικὸν καταρτύσαι, ὥστε τὸ σῶμα ἐν ἁρμονικῇ ὁμοφωνίᾳ μετὰ τῆς ψυχῆς εὑρίσκεσθαι, οὐδὲ ζητεῖ εὑρεῖν τοιαύτας ἀρετάς, οἵας Πλάτων καὶ Ἀριστοτέλης. Πλάτων μὲν γὰρ λαβὼν τὸν ἄνθρωπον ἐκ γῆς ἀνύψωσεν εἰς οὐρανὸν καὶ ὑποδείκνυσιν αὐτῷ συμφώνως τῇ θείᾳ αὐτοῦ καταγωγῇ μᾶλλον ἰδεώδεις ἠθικὰς ἀρετάς· Ἀριστοτέλης δὲ τοὐναντίον λαβὼν τὸν ἄνθρωπον ἐξ οὐρανοῦ κατεβίβασεν αὐτὸν εἰς γῆν καὶ ὡς ἀπόμοιραν τοῦ θείου ἀπαιτεῖ παρ᾽ αὐτοῦ ἠθικὰς ἀρετὰς ἧττον ἰδεώδεις, ἅτε διελὼν αὐτὰς εἰς θεωρητικὰς καὶ πρακτικάς· οὐ γὰρ ὀνίνησιν ἡ διδασκαλία καὶ γνῶσις τῆς ἀρετῆς ἄνευ πράξεως. Ἀλλὰ Πλούταρχος ἔτι μᾶλλον ἐποτρύνει ἡμᾶς ἐπιδιῶξαι ἀρετάς, αἵπερ ὠφελοῦσιν ἡμῖν ἔν τε τῷ ἰδιώτῃ καὶ ἐν τῷ πολιτικῷ βίῳ, καὶ ἀποφυγεῖν κακίας, αἳ σφόδρα βλάπτουσιν ἡμῖν ἐν τῇ μετὰ τῶν ὁμοίων ἡμῶν παντοδαπῇ σχέσει. Οὕτω ὑποδείκνυσιν ἡμῖν, ἵνα, ὅσον οἱόν τέ ἐστι, βίον εὐδαίμονα καὶ μακάριον ἄγωμεν, μὴ ὑποπίπτειν εἰς τὸ τῆς ὀργῆς πάθος, ἐξ ἧς πολλὰ κακὰ ὑποθάλπονται καὶ γεννῶνται, ἀλλὰ κρατεῖν εὐθυμίαν ψυχῆς καὶ ἀοργησίαν, φιλαδελφίαν καὶ τὴν πρὸς τὰ ἔκγονα φιλοστοργίαν· ἔτι δὲ ἐθίζειν ἐξ ἁπαλῶν ὀνύχων εἰς αὐστηρὰν ΣΙΩΠΗΝ* [a]), *ἣν Πλούταρχος κρηπῖδα καὶ μητέρα οὕτως εἰπεῖν πάσης ἀρετῆς θεωρεῖ, καὶ ἀποφεύγειν τὰς ῥίζας τῶν κακιῶν, τοῦτο μὲν ἀδολεσχίαν καὶ πολυπραγμοσύνην,*

a) *Πλουτ. Περὶ τοῦ ἀκούειν κ. 4. 6. Περὶ παίδ. ἀγ. 14. Περὶ ἀδολεσχ. 2. 8. 10. 13. 21. Περὶ πολυπραγμ. 9. 11.*

Ἐκ τῶν μέχρι οὖν τοῦδε εἰρημένων ἀρίδηλον ἡμῖν καθίσταται, ὅτι ὁ ἄνθρωπός ἐστιν ἀπόμοιρα τοῦ Θείου· τὸ μὲν γὰρ λογιστικὸν ὡς ὑπ' αὐτοῦ τοῦ δημιουργοῦ πλασθὲν ἀθάνατόν ἐστι, τὸ δὲ θυμικὸν καὶ ἐπιθυμητικόν, καίτοι θνητά, ἐπλάσθησαν οὐχ ἧττον ὅμως ὑπὸ δευτερευόντων θεῶν, οἵτινες καὶ αὐτοὶ ὁμοίως θνητοὶ εἰσιν. Ἐντεῦθεν οὖν καταφαίνεται ὅτι ἥ τε θέσις καὶ ἡ καταγωγὴ τοῦ ἀνθρώπου ὑψηλοτάτη καὶ τῷ Θείῳ παραπλησία ἐστίν, ἅτε καὶ τοῦ λογιστικοῦ πασῶν τῶν ἰδεῶν κεκτημένου γνῶσιν, ὅτε συνῆν πρότερον τῷ Θείῳ καὶ ἐθεώρει καὶ ἐπέγνω αὐτὸ καὶ ἐπληροῦτο τῶν ἰδεῶν. Τούτου ἕνεκα κατὰ Πλούταρχον τελικὸς τοῦ ἀνθρώπου σκοπός ἐστιν ἡ πρὸς τὸ Θεῖον ἀφομοίωσις. Τοῦτο δ' ἐπιτυγχάνεται τῇ δικαιοσύνῃ, ἥτις ἐστὶν ἡ ἁρμονία τῶν τριῶν δυνάμεων τῆς ψυχῆς κατὰ τὴν προσήκουσαν αὐτῆς ἐνεργίαν, ὥστε τὸ μὲν λογιστικὸν ἄρχειν δύνασθαι καὶ ἀνέρχεσθαι εἰς τὸ ἄκρον ἄωτον τοῦ ἀγαθοῦ, ὅπερ ἐστὶν αὐτὴ ἡ πρὸς τὸ Θεῖον ἀφομοίωσις, τὸ δὲ θυμικὸν πράττειν μεθ' ὑπομονῆς καὶ καρτερίας τὰ ὑπὸ τοῦ λογιστικοῦ προστασσόμενα καὶ ἐπιβοηθεῖν αὐτῷ πρὸς κοινὴ καταστολὴν τῶν ὁρμῶν καὶ παθῶν τοῦ ἐπιθυμητικοῦ, τὸ δὲ ἐπιθυμη-

---

ἐξ ὧν καὶ διαβολὴ α) καὶ συκοφαντία καὶ φλυαρία καὶ περιεργία καὶ πᾶσα ἄλλη κακία γεννῶνται καὶ βλάβην οὐ τὴν τυχοῦσαν ἡμῖν ἐπενεγκεῖν δύνανται ἐν τῇ μετ' ἄλλων σχέσει, τοῦτο δὲ φιλοπλουτίαν, δυσωπίαν, ἑαυτοῦ ἔπαινον, φθόνον καὶ μῖσος. Τότε δ' ἔξεστιν ἡμῖν βίον ἔνθεν μὲν σώφρονα, κόσμιον καὶ ἐνάρετον, ἔνθεν δὲ ἀνεκτὸν καὶ τοῖς πᾶσιν ἀρεστὸν καταρτύσαι. Ἀλλὰ πράγματι μακάριος καὶ εὐδαίμων ὁ νηπιόθεν εἰς αὐστηρὰν σιωπὴν ἐθίζων· τοῖς δὲ νέοις κρεῖττον τὸ σιγᾶν τοῦ λαλεῖν· ἀσφαλὴς γὰρ αὐτοῖς κόσμος ἐστὶν ἡ σιωπή.

α) „Διαβολὴ καὶ Φήμη δύο συγγενῆ κακά· θυγάτηρ ἡ Φήμη τῆς Διαβολῆς. Καὶ ἔστι μὲν ἡ Διαβολὴ μαχαίρας ὀξυτέρα, πυρὸς σφοδροτέρα, Σειρήνων πιθανωτέρα· ἡ δὲ Φήμη ὕδατος ὑγροτέρα, πνεύματος δρομικωτέρα, πτερῶν ταχυτέρα. Ὅταν οὖν ἡ Διαβολὴ τοξεύσῃ τὸν λόγον, ὁ μὲν δίκην βέλους ἐξίπταται καὶ τιτρώσκει μὴ παρόντα καθ' οὗ πέμπεται, ὁ δὲ ἀκούων ταχὺ πείθεται καὶ ὀργῆς αὐτῷ πῦρ ἐξάπτεται καὶ ἐπὶ τὸν βληθέντα μαίνεται· τεχθεῖσα δὲ ἡ Φήμη τῷ τοξεύματι ῥεῖ μὲν εὐθὺς πολλὴ καὶ ἐπικλύζει τὰ ὦτα τῶν ἐντυχόντων, διάττει δὲ ἐπὶ πλεῖστον καταιγίζουσα τῷ τοῦ λόγου πνεύματι καὶ ἐξίπταται κουφιζομένη τῷ τῆς γλώττης πτερῷ.“ Οὕτω περὶ Διαβολῆς καὶ Φήμης πραγματεύεται Ἀχιλλεὺς Τάτιος ὁ Ἀλεξανδρεύς, ὃς ἔσχατον Χριστιανὸς καὶ δὴ ἐπίσκοπος ἐγένετο, εἰς τὸ κατὰ Λευκίππην καὶ Κλειτοφῶντα βιβλίον ΣΤ', 10.

τικὸν τρέφειν τὸ σῶμα καὶ διαδιδόναι τὸ γένος καὶ ἐν ἡσυχίᾳ ἄγειν. Μέσον δὲ πρὸς τελείαν τῶν δυνάμεων τῆς ψυχῆς ἁρμονικὴν ἀνάπτυξίν ἐστιν ἡ τροφὴ καὶ παιδεία συνῳδὰ τοῖς τρισίν, ἐξ ὧν ἄνθρωπος συνέστηκεν οἷον φύσει, λόγῳ ἢ μαθήσει, ἔθει ἢ ἀσκήσει. Καὶ εἰ μὲν ἄνθρωπος ὑπὸ φύσεως ἀγαθῆς πεπροικισμένος εἴη καὶ εἰς κτῆσιν ἀρετῆς εἰθισμένος καὶ γράμματα μεμαθηκώς, ἄριστος ἂν καὶ χρήσιμος τῇ πολιτείᾳ καὶ οἰκογενείᾳ αὐτοῦ ἀποβαίη· εἰ δὲ τοὐναντίον ἐκ γενετῆς μάλιστα ἀτελὴς καὶ κακὸς εἴη καὶ μὴ ἠσκημένος εἰς ἀρετὴν μηδὲ γράμματα μεμαθηκώς, οὗτος ἄχρηστος καὶ πάντῃ ἀνωφελὴς τῇ πολιτείᾳ καὶ οἰκογενείᾳ αὐτοῦ ἂν ἀποβαίη. Ἀλλὰ καὶ ἂν τι τούτων λειφθῇ, κατὰ τοῦτ᾽ ἀνάγκη χωλὴν γίνεσθαι τὴν ἀρετὴν, διδακτὴν μᾶλλον οὖσαν. Ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως τυφλὸν· ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές· ἡ δὲ ἄσκησις χωρὶς ἀμφοῖν ἀτελὲς. Ὥσπερ δ᾽ ἐπὶ τῆς γεωργίας πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα, τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν ἡ φύσις, γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα, ἅτε σπουδαίου λόγου καὶ τελείου ἐξ ἐπιμελίας μόνον καὶ διδασκαλίας προσγιγνομένου [1]). Καὶ τὴν μὲν φύσιν ὡς θεῖον δῶρον οὐ δυνατὸν ἀλλοιοῦσθαι οὐδ᾽ ὑπὸ γονέων οὐδ᾽ ὑπὸ διδασκάλων οὐδ᾽ ὑπ᾽ ἄλλου τινός· φύσιν γὰρ πονηρὰν μεταβαλεῖν οὐ ῥᾴδιον· ἡ δὲ ἕξις καὶ μάθησις ἔθγον ἐστὶ τῆς πολιτείας καὶ τῶν γονέων καὶ τῶν διδασκάλων· αὗται δὲ προάγονται καὶ ἀναπτύσσονται καθ᾽ ὅλου τῇ ἐπιμελίᾳ τῆς τροφῆς καὶ παιδείας, εἰς ἣν καὶ μεταβαίνομεν ἐξετάσαι.

1) *Πλουτ. Πότερα τῶν ζῴων φρον. Δ, β,* 5.

II.

Η ΠΑΙΔΑΓΩΓΙΑ.

Α—Β.

Ἡ Ἀγωγὴ καὶ Παιδεία.

Τὸ πρῶτον καὶ μέσον καὶ τελευταῖον κεφάλαιον ἀγωγὴ σπουδαία καὶ παιδεία νόμιμός ἐστι· καὶ ταῦτα φορὰ καὶ συνεργὰ πρὸς ἀρετὴν καὶ πρὸς εὐδαιμονίαν εἰσί. Καὶ τὰ μὲν ἄλλα τῶν ἀγαθῶν ἀνθρώπινα καὶ μικρὰ καὶ οὐκ ἀξιοσπούδαστα καθέστηκεν. Εὐγενία καλὸν μέν, ἀλλὰ προγόνων ἀγαθόν· πλοῦτος δὲ τίμιον μέν, ἀλλὰ τύχης κτῆμα, ἐπεὶ δὴ τῶν μὲν ἐχόντων πολλάκις ἀφείλετο, τοῖς δ᾽ οὐκ ἐλπίσασι φέρουσα προσήνεγκε, καὶ ὅτι ὁ πολὺς πλοῦτος σκοπὸς ἔκκειται τοῖς βουλομένοις βαλάντια τοξεύειν, κακούργοις οἰκέταις καὶ συκοφάνταις· καὶ τὸ μέγιστον ὅτι καὶ τοῖς πονηροτάτοις μέτεστιν. Οὐ μὴν ἀλλὰ καὶ δόξα σεμνόν, ἀλλ᾽ ἀβέβαιον· κάλλος δὲ περιμάχητον μέν, ἀλλ᾽ ὀλιγοχρόνιον· ὑγίεια δὲ τίμιον μέν, ἀλλ᾽ εὐμετάστατον· ἰσχὺς δὲ ζηλωτὸν μέν, ἀλλὰ νόσῳ εὐάλωτον καὶ γήρᾳ [1])· *παιδεία δὲ τῶν ἐν ἡμῖν μόνον ἐστὶν ἀθάνατον καὶ θεῖον* [2]). *Ἡ παιδεία μέγιστον τοῦ νομοθέτου καὶ*

1) *Ἔπιθι καὶ Πυθαγ. παρ᾽ Ἰαμβλίχῳ* 42 *καὶ παρὰ Στοβαίῳ εἰς Ἀνθολ. Β*, 11. *Πρβλ. καὶ Ἰσοκρ. πρὸς Δημόν. β*, 6. *καὶ Φίλων. Ἰουδ.* 11 *καὶ Διογ. Λαερτ.* 68.

2) *Καὶ ἄλλοι διειλήφασι πολλοὶ περὶ παιδείας καὶ παίδων ἀγωγῆς, ὧν τὰ πλεῖστα τῶν συγγραμμάτων δυστυχῶς ἀπώλοντο, ἀλλ᾽ ἢ ἀποσπάσματα αὐτῶν ἐσῴθησαν μόνον ἢ ἁπλῶς μνεία περὶ αὐτῶν γίνεται ἐν ἄλλοις συγγραφεῦσιν. Οὕτω*: 1) *Ἀρχύτας ὁ Ταραντῖνος ὁ Πυθαγόρειος ἔγραψε „περὶ παίδων ἀγωγῆς“ (Φιλοστρ. βίος Ἀπολλ.* VI, 31) *καὶ περὶ „παιδεύσεως ἠθικῆς“ (Στοβ. Ἀνθολ. Α΄, σελ.* 28). 2) *Ἰάμβλιχος „περὶ παίδων ἀγωγῆς“ (Στοβ. Ἀνθολ. Α*, 210). 3) *Μουσώνιος „εἰ παραπλησίως παιδευτέον τὰς θυγατέρας τοῖς υἱοῖς“ καὶ „ὅτι καὶ γυναιξὶ φιλοσοφητέον“ (Στοβ. Ἀνθολ. Α*, 212. 220). 4) *Φαβρίκιος „περὶ ἠθικῆς παιδείας“* (Biblioth. Graeca, T. p. 493). 5) *Θεόφραστος „περὶ παίδων ἀγωγῆς“ (Διογ. Λαερτ. Ε*. 50 *καὶ Στοβ. Ἀνθολ. Α*, 216). 6) *Ἀρί-*

κάλλιστον ἔργον τυγχάνει· ταύτην δὲ οὐσίαν εὐδαιμονίας [1]) *οὖσαν, αἰτίαν τ' εὐβουλίας, οὐ μόνον ἐστὶν εὑρεῖν ἢ οἴκῳ ἢ πόλει ἢ ἔθνει χρησίμην, ἀλλὰ παντὶ τῷ τῶν ἀνθρώπων γένει. Ἡ παιδεία* [2]) *ἐξημεροῖ τοὺς ἀνθρώπους, ὥστε καὶ καρτερεῖν ἐν πόνοις καὶ νικᾶν ἐν μάχαις, καὶ συντείνει εἰς τὴν ἐκτροφὴν τῶν νέων, ὅπως μὴ διάφοροι μηδὲ ταραχώδεις γένοιντο τοῖς ἤθεσιν, ἀλλ' εἰς ἕν τι κοινὸν ἀρετῆς ἴχνος εὐθὺς ἐξ ἀρχῆς πλαττόμενοι καὶ τυπούμενοι συμβαίνοιεν ἀλλήλοις· αὕτη ἀναδεῖ τοῖς ἤθεσι τῶν παίδων τοὺς νόμους καὶ συνοικειοῖ τῇ τροφῇ τὸν ζῆλον τῆς πολιτείας. Οὐ μὴν ἀλλὰ τὸ παιδεύειν τοὺς πολίτας δεῖ σπουδαιότερον τοῦ νικᾶν τοὺς πολεμίους ἡγεῖσθαι· τῷ γὰρ ὄντι ἡ ἀπαιδευσία λωβᾶται καὶ συντρίβει τὸ ἔθνος, ἐν ᾧ ἡ παιδεία διακοσμεῖ τὸ ἦθος εἰς ἀρετῆς λόγον καὶ πρὸς τὸ θειότατον ἀφομοιοῖ παράδειγμα τῶν ὄντων καὶ κάλλιστον, ᾧ τὸ πᾶν ἡγουμένῳ πειθόμενον ἐξ ἀκοσμίας κόσμος ἐστὶ, πολλὴν ἑκάστῳ καὶ τοῖς πολίταις μηχανησαμένη. Ἀλλ' ἡ σώφρων μάλιστα παιδεία ἐφίστησι καὶ κατακοσμεῖ τὴν διάνοιαν οὐ μόνον ἐν βακχεύμασιν, ἀλλὰ καὶ ἐν φιλοτιμίαις καὶ ὀργαῖς· ἡ δὲ παντελὴς ἀπαιδευσία καὶ τὰς σπουδαίας ἔτι φύσεις*

στιππος „περὶ παιδείας“ (Διογ. Λαερτ. B, 85). 7) Κλεάνθης „περὶ ἀγωγῆς“ (Διογ. Λαερτ. Z, 175). 8) Ζήνων ὁ Κιτιεύς „περὶ τῆς ἑλληνικῆς παιδείας“ (Διογ. Λαερτ. Z, 4) καὶ „περὶ παίδων ἀγωγῆς“ (Σέξτ. Ἐμπειρ. Πυρρων. III, 245 καὶ πρὸς Μαθημ. XI, 190. 9) Χρύσιππος „περὶ παίδων ἀγωγῆς“ (Sensius de Scriptor. Hist. Phil. II, 8). 10) Ἱερώνυμος „περὶ παίδων ἀγωγῆς“ (Λαμασκην. Παραλλ. παρὰ Στοβ. Ἀνθολ. A, 209). 11) Κλεομένης „παιδαγωγικόν“ (Διογ. Λαερτ. Z, 75). 12) Δημόκριτος „περὶ παιδείας“ (Mullach Fragmenta Philos. Graec. Tom. II, p. 348). 13) Ἀντισθένης „περὶ παιδείας“ (αὐτόθ. II, p. 281 καὶ Ἀριαν. Διατρ. Ἐπικτ. A, 17). 14) Κλέαρχος „περὶ παιδείας“ (Ἀθήν. XV, p. 697, F). 15) Κλήμης ὁ Ἀλεξανδρεὺς „παιδαγωγόν“. 16) Ἰωάννης Χρυσόστομος „ὁμιλία περὶ παίδων ἀγωγῆς“ (Tom. VI, p. 788). 17) Στοβαῖος ὁ Μακεδὼν „περὶ παιδείας καὶ ἀγωγῆς“ (Στοβ. Ἠθικ. B'). 18) Ἰωάννης Τζέτζης „περὶ παίδων ἀγωγῆς συντελοῦς τῷ νῦν βίῳ“. 19) Οὐάρρων „περὶ παίδων ἀγωγῆς“ — Varro de liberis educandis — (a Gellio citatur IV, 19). 20) Κάτων „περὶ παίδων ἀγωγῆς“ — Cato de liberis educandis — (a Macrobio citatur Sat. VI, 3).

1) Ὁ Πλούταρχος ἐν τῇ περὶ εὐδαιμονίας καὶ κοσμοπολιτείας (Eudämonismus und Kosmopolitismus) δόξῃ αὐτοῦ ἐρείδεται ἐπὶ τῆς θεωρίας τοῦ Ἀριστοτέλους. Ἀλλ' οἱ ἀρχαῖοι ἀντιλαμβάνονται ταύτης διαφόρως πως ἢ οἱ νεώτεροι φιλόσοφοι, ἐξ ὧν ὁ πολὺς Κάντιος περὶ τούτου πραγματεύεται.

2) Ἀλλὰ παρὰ Πλάτωνι τίς οὖν ἡ παιδεία; ἡ μὲν ἐπὶ σώμασιν γυμναστική, ἡ δ' ἐπὶ ψυχῇ μουσική (Πολιτ. B, 376 E).

καὶ τῶν μεγαλοπραγμόνων τὰς προαιρέσεις ἀνωμάλους καὶ ἀσταθμήτους καθίστησι. Τὴν δὲ τοιαύτην ἀνωμαλίαν ἔνδεια λόγου φιλοσόφου περὶ τὰς εὐφυΐας ἀπεργάζεται τὴν ἀρετήν, ὥσπερ καρπὸν αὐτοφυᾶ καὶ ἀγεώργητον, ἐκφερούσης δίχα τῆς ἐπιστήμης· ἀσθενὴς γὰρ ἡ ἀνθρωπίνη φύσις, εἰ μηδὲ ἐν ἤθεσιν οὕτως ἀξιολόγοις καὶ διαφόροις πρὸς ἀρετὴν ἐκφέρειν δύναται τὸ καλὸν ἀνεμέσητον. Διὸ ἡ φύσις, ἐὰν οὖσα γενναία καὶ ἀγαθὴ παιδείας ἐνδείας γένηται, πολλὰ τοῖς χρηστοῖς ὁμοῦ φαῦλα συναποτίκτειν δύναται, ὥσπερ εὐγενῆ χώραν ἐν γεωργίᾳ θεραπείας μὴ τυχοῦσαν· οὐδὲν γὰρ ἄλλο Μουσῶν εὐμενίας ἀπολαύουσιν ἄνθρωποι τοσοῦτον, ὅσον ἐξημερῶσαι τὴν φύσιν ὑπὸ λόγου καὶ παιδείας, τῷ λόγῳ δεξαμένην τὸ μέτριον καὶ τὸ ἄγαν ἀποβαλοῦσαν.

Καθ' ὅλου δὲ πεπαιδευμένους [1]) καὶ τελείους δεῖ ἡγεῖσθαι ἀνθρώπους τοὺς δυναμένους ἐν ἀνάγκῃ καὶ τὴν πολιτικὴν δύναμιν μῖξαι καὶ κεράσαι τῇ παιδείᾳ καὶ δὴ τῇ φιλοσοφίᾳ· καὶ δυοῖν ὄντοιν μεγίστοιν ἀγαθοῖν ἐπιβόλους ὑπάρχειν τοῦ τε κοινωφελοῦς βίου πολιτευομένους, τοῦ τε ἀκύμονος καὶ γαληνοῦ διατρίβοντας περὶ φιλοσοφίαν· ἄλλως τε καὶ λαμπρᾶς καὶ βασιλικῆς καὶ φρόνημα ποιούσης μέγα καὶ φῶς καὶ γαλήνην ἀληθῶς εἰς ἅπαντας ἀναχεομένην χαρᾶς, οἵκ ἐστι μετασχεῖν βίου ἀνέξοδον καὶ ἀπολίτευτον καὶ ἀφιλάνθρωπον καὶ ἀνενθουσίαστον εἰς τιμὴν καὶ χάριν

1) Ἰδοὺ τίνας ὁ Ἰσοκράτης (Παναθην. 31, 30—33) καλεῖ πεπαιδευμένους καὶ πῶς ὁρίζει τὴν παιδείαν ἐπὶ τὸ πρακτικώτερον. „Τίνας οὖν καλῶ πεπαιδευμένους, ἐπειδὴ τὰς τέχνας καὶ τὰς ἐπιστήμας καὶ τὰς δυνάμεις ἀποδοκιμάζω; Πρῶτον μὲν οὖν τοὺς καλῶς χρωμένους τοῖς πράγμασι τοῖς κατὰ τὴν ἡμέραν ἑκάστην προσπίπτουσι, καὶ τὴν δόξαν ἐπιτυχῆ τῶν καιρῶν ἔχοντας καὶ δυναμένην ὡς ἐπὶ τὸ πολὺ στοχάζεσθαι τοῦ συμφέροντος· ἔπειτα τοὺς πρεπόντως καὶ δικαίως ὁμιλοῦντας τοῖς ἀεὶ πλησιάζουσι, καὶ τὰς μὲν τῶν ἄλλων ἀηδίας καὶ βαρύτητας εὐκόλως καὶ ῥᾳδίως φέροντας, σφᾶς δ' αὐτοὺς ὡς δυνατὸν ἐλαφροτάτους καὶ μετριωτάτους τοῖς συνοῦσι παρέχοντας· ἔτι δὲ τοὺς τῶν μὲν ἡδονῶν ἀεὶ κρατοῦντας, τῶν δὲ συμφορῶν μὴ λίαν ἡττωμένους, ἀλλ' ἀνδρωδῶς ἐν αὐταῖς διακειμένους καὶ τῆς φύσεως ἀξίως, ἧς μετέχοντες τυγχάνομεν· τέταρτον, ὅπερ μέγιστον, τοὺς μὴ διαφθειρομένους ὑπὸ τῶν εὐπραγιῶν μηδ' ἐξισταμένους αὐτῶν μηδ' ὑπερηφάνους γιγνομένους, ἀλλ' ἐμμένοντας τῇ τάξει τῇ τῶν εὐφρονούντων, καὶ μὴ μᾶλλον χαίροντας τοῖς διὰ τύχην ὑπάρξασιν ἀγαθοῖς ἢ τοῖς διὰ τὴν αὑτῶν φύσιν καὶ φρόνησιν ἐξ ἀρχῆς γιγνομένοις. Τοὺς δὲ μὴ μόνον πρὸς ἓν τούτων, ἀλλὰ πρὸς ἅπαντα ταῦτα τὴν ἕξιν τῆς ψυχῆς εὐάρμοστον ἔχοντας, τούτους φημὶ καὶ φρονίμους εἶναι καὶ τελείους ἄνδρας καὶ πάσας ἔχειν τὰς ἀρετάς."

ἀνελομένους. Μόνον δὲ ὁ φαῦλος ἄνθρωπος δύναται βιῶναι τοὺς ἄλλους λανθάνων· ὁ δὲ πεπαιδευμένος καὶ σπουδαῖος ὀφείλει, ἵνα τοὺς ἄλλους παιδεύσῃ καὶ ζῆλος ἀρετῆς καὶ παράδειγμα καλὸν γένηται· ἂν δ' ἀρετὴν ἔχῃ, μὴ γένῃ ἄχρηστος· ἂν δὲ κακίαν, μὴ μείνῃ ἀθεράπευτος. Ὥσπερ δὲ τὸ φῶς οὐ μόνον φανερούς, ἀλλὰ καὶ χρησίμους καθίστησιν ἡμᾶς ἀλλήλους, οὕτω ἡ γνῶσις οὐ μόνον δόξαν, ἀλλὰ καὶ πρᾶξιν ταῖς ἀρεταῖς δίδωσιν. Ἡσυχία δὲ κωφὴ καὶ βίος ἕδραῖος ἐπὶ σχολῇ ἀποκείμενος οὐ μόνον σώματα, ἀλλὰ καὶ ψυχὰς μαραίνει· καὶ καθάπερ τὰ λανθάνοντα τῶν ὑδάτων τῷ περισκιάζεσθαι καὶ καθῆσθαι μὴ ἀπορρέοντα σήπεται, οὕτω τῶν ἀκινήτων βίων, ὡς ἔοικεν, ἄν τι χρήσιμον ἔχωσι, μὴ ἀπορρεόντων μηδὲ πινομένων, φθείρονται καὶ ἀπογηράσκουσιν αἱ σύμφυτοι δυνάμεις. Ὅθεν ὁ εἰς τὴν ἄγνοιαν αὐτὸν ἐμβαλὼν καὶ σκότος περιαμπισχόμενος καὶ κενοταφῶν τὸν βίον ἔοικεν αὐτὴν βαρύνεσθαι τὴν γένεσιν καὶ ἀπαυδᾶν πρὸς τὸ εἶναι [1]).

Ἀλλὰ δίκαιόν ἐστι νομίμου τυχεῖν παιδείας οὐ μόνον τοὺς ἄρρενας, ἀλλὰ καὶ τὰς θήλεις, αἵτινες ὡς ἄνθρωποι ὀφείλουσιν ἐπ' ἴσης ἐν παιδείᾳ ἐνδιατρῖψαι· δι' ὃ καὶ τὰς κόρας δεῖ πολλὰ φίλτρα δίχα τῶν ἀφ' ὥρας λαμβάνειν. Καὶ γὰρ περὶ γράμματα καλῶς ἀσκεῖσθαι καὶ περὶ μουσικὴν καὶ γεωμετρίαν καὶ γυμναστικήν, καὶ λόγων φιλοσοφίαν ἐθίζειν χρησίμως ἀκούειν, ἀλλὰ προσέχειν τὸν νοῦν, ἵνα μὴ τὸ ἦθος αὐτῶν ἀηδίας καὶ περιεργίας καθαρὸν γίνηται, ἃ δὴ νέαις προστρίβεται γυναιξὶ τὰ τοιαῦτα μαθήματα. Δι' ὃ δεῖ μεριμνᾶν περὶ τῆς τῶν ἀρρένων ἅμα καὶ θηλέων τροφῆς καὶ παιδείας τὰ ἔθνη καὶ τὰς πολιτείας, τοὺς γονεῖς καὶ τὰς οἰκογενείας, τοὺς διδασκάλους καὶ παιδαγωγούς, ἔν τε τῇ σχολῇ καὶ ἐκτὸς αὐτῆς, διὰ τῶν μαθημάτων καὶ παντοδαπῶν ἄλλων παιδαγωγικῶν μέσων, εἰς ὃν τὴν ἔρευναν καὶ μεταβαίνομεν πᾶσαν ὡς οἷόν τε τὴν ἐν τοῖς συγγράμμασιν αὐτοῦ κατεσταρμένην Παιδαγωγίαν τοῦ Πλουτάρχου πραγματευόμενοι [2]).

1) *Πρβλ. καὶ Πλάτ. Θεαίτ.* 153, B.

2) *Ἡ ἐν ἅπασι τοῖς συγγράμμασι τοῦ Πλουτάρχου Παιδαγωγία μεγίστην ἔχει σχέσιν καὶ πρὸς τὴν Χριστιανικὴν Παιδαγωγίαν. Ἡ ἔννοια τῆς Παιδαγωγίας καθ' ὅλου κατανοεῖται ἐκ τῶν διαφόρων ἀπόψεων τοῦ παρόντος, τῶν διαφόρων θρησκειῶν, τῶν δοξῶν, τῶν ἐθνικοτήτων καὶ τούτοις παραπλησίων. Τοιαύτη οὖν ἐστιν ἡ καθαρῶς ἐπιστημονικὴ καὶ ὀρθοτάτη καὶ βεβαιοτάτη Παιδαγωγία· ἐφ' ἧς οἱ κάλλιστοι τῶν νεωτέρων χρόνων Παιδαγωγοὶ ἐπερεί-*

Α'.

Ἡ ἐκτὸς τῆς σχολῆς Παιδεία.

α'. Τὰ Ἔθνη καὶ αἱ Πολιτεῖαι.

Τοὺς ἄρχοντας τῶν ἐθνῶν καὶ πολιτειῶν δεῖ οὐκ ἰδίους ἡγεῖσθαι τῶν γονέων τοὺς παῖδας, ἀλλὰ κοινοὺς τῆς πόλεως, ὅθεν

δοντιαι καὶ διὰ τὴν δημοτικὴν μάλιστα παίδευσιν ἀείποτε μεριμνῶσι. Παρ' ἡμὶν δὲ τοῖς Χριστιανοῖς σκοπὸς τῆς Παιδαγωγίας ἐστὶν ἡ ἀγωγὴ τῶν ἀνθρώπων πρὸς χριστιανικὸν ἐξανθρωπισμόν, τουτέστι πρὸς τὴν ὅσον οἱόν τε ἀνθρωπίνην ἐντέλειαν, πρὸς τε τὰς δεδομένας σχέσεις ἀντιστοιχοῦσαν καὶ εἰς τὸ χριστιανικὸν πνεῦμα εἰσδύουσαν· ἢ τέλος ἡ ἔγερσις καὶ ἀνάπτυξις τοῦ φοβου τοῦ Θεοῦ, τῆς κοινῆς γνώμης καὶ τοῦ πρακτικοῦ φρονήματος. Τὸ τέλος ὅμως ἧς τοῦ Πλουτάρχου Παιδαγωγίας ἐστὶν ἡ ἀνάπτυξις πρὸς τὴν καλοκἀγαθίαν, ἥτις μετὰ τῆς χρηστοηθείας συζεύγνυται. Ἡ διδασκαλία δ' αὕτη τῆς ἀγωγῆς περιλαμβάνει τοῦτο μὲν τὴν ἑλληνικὴν ἔννοιαν τῆς καλοκἀγαθίας, τοῦτο δὲ προσεγγίζει λίαν καὶ πρὸς τὴν ἰδέαν τῆς χριστιανικῆς ἀγωγῆς. Διὰ τῆς ἀξιομνημονεύτου „καλοκἀγαθίας" οἱ ἀρχαῖοι Ἕλληνες ἐνόουν τὸ ἰδεῶδες τῆς ἑλληνικῆς ἀγωγῆς, συμπεριλαμβανομένης ἐκ μιᾶς ἀγαθῆς ψυχῆς ἐν ὡραίῳ τινὶ σώματι. Τοῦτο δὲ κατὰ Πυθαγόραν ἐστὶν ἡ ἁρμονία τῆς τε ψυχῆς καὶ τοῦ σώματος καὶ ἡ ἀλληλένδετος ἁρμονία ἀμφοτέρων διὰ τοῦ νοῦ, ἐπικρατοῦντος διὰ τῶν ἠθικῶν ἀσκήσεων. Ὑπὸ τὴν λέξιν δὲ ταύτην καθ' ὅλου οἱ ἀρχαῖοι ἐξελάμβανον πάσας τὰς σωματικὰς καὶ πνευματικὰς ἀρετὰς καὶ δὴ τὴν εὐκοσμίαν, εὐσχημοσύνην, κοσμιότητα, πραότητα, αἰδῶ, σωφροσύνην, ἀνδρείαν, δικαιοσύνην, ἐγκράτειαν, πολιτικὴν ἀρετήν. Πᾶσαι οὖν αἱ ἀρεταὶ αὐται ἀπετέλουν πᾶσαν τὴν παρ' ἀρχαίοις παιδείαν. Διὸ ἐν τῇ Παιδαγωγίᾳ τοῦ Πλουτάρχου, τῇ θεωρίᾳ τῆς ἑλληνικῆς ταύτης ἀγωγῆς, τὸ ἠθικὸν ἐν τῇ εἰδωλολατρείᾳ ἐπέτυχε τῆς ὑψίστης βαθμίδος καὶ τοῦτο γινώσκει τις ἐκ τοῦ χριστιανισμοῦ. Ἀλλ' ἡ σύγχρονος ἐν ἐνεργίᾳ διδασκαλία ἐστὶ καθολική, ὥστε πάσας τὰς διαιρέσεις καὶ τάξεις τοῦ λαοῦ μέχρι τῶν κατωτάτων τῆς πολιτείας στρωμάτων τῆς αὐτῆς ἀγωγῆς καὶ διδασκαλίας ἀπολαμβάνειν. Παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ὅμως καὶ δὴ τοῖς Ἀθηναίοις κατά τινα τοῦ Σόλωνος νόμον α) ἡ ἀγωγὴ τῶν παίδων ἦν ἰδιωτικὴ μόνον ὑπόθεσις ἑνίων οἰκογενειῶν καὶ τῶν ἐλευθέρων θεωρουμένων γονέων, μόνον δ' ἐν Σπάρτῃ ἦν τοῦτο μέλημα καὶ καθῆκον τῆς πολιτείας. Ἔτι δὲ ἡ πολιτεία σήμερον μεριμνᾷ περὶ τῆς μορφώσεως καὶ ἐπιτηρήσεως ὡρισμένης τινὸς τάξεως διδασκάλων, ἐν ᾗ παρὰ τοῖς Ἀθηναίοις τοῦτο ἦν μέριμνα ἰδιωτῶν διδασκάλων, οἵτινες ὑπὸ τῶν γονέων διὰ τοὺς παῖδας αὐτῶν ἠροῦντο, ἀντημείβοντο καὶ ἐφορῶντο· τῶν διδασκάλων δὲ τούτων τοὺς πλείστους ὁ Πλούταρχος ἐθεώρει ἀναρμοδίους. Ἀλλ' ὁ Πλούταρχος, οὗ τινος ἡ Παιδαγωγία πλείονα σχέσιν πρὸς τὴν Χριστιανικὴν Παιδαγωγίαν κέκτηται, ζητεῖ τὴν τῶν παίδων ἀγωγὴν καὶ παιδείαν κατὰ τὸν νόμον τοῦ

α) *Πλουτ. Σόλων* 22.

οὐκ ἐκ τῶν τυχόντων, ἀλλ᾽ ἐκ τῶν ἀρίστων βούλεσθαι γεγονότας εἶναι τοὺς πολίτας. Χρὴ δ᾽ οὖν αὐτοὺς διὰ τῆς ἀγρύπνου καὶ συνετῆς αὐτῶν περὶ τοῦ ἔθνους προνοίας μεριμνᾶν περὶ τῆς παιδείας τῶν πολιτῶν καὶ ἐμποιεῖν σύναμα τοῖς πολίταις τὸ καλῶς ἄρχεσθαι καὶ πειθαρχεῖν, ὡς ὁ Λυκοῦργος τὸ ὅλον καὶ πάσης νομοθεσίας ἔργον εἰς τὴν παιδείας ἕνεκα μέριμναν τῆς πολιτείας ἀνῆψεν. Ἀλλ᾽ ἡ πειθαρχία μάθημα μὲν ἐστιν ἄρχοντος, ἐμποιεῖ γὰρ ὁ καλῶς ἄγων τὸ καλῶς ἕπεσθαι· καὶ καθάπερ ἱππικῆς τέχνης ἀποτέλεσμα πρᾶον ἵππον καὶ πειθήνιον παρασχεῖν, οὕτω βασιλικῆς ἐπιστήμης ἔργον ἀνθρώποις εὐπείθειαν ἐνεργάσασθαι. Ἀλλὰ τοὺς ἄρχοντας τῆς πόλεως δίκαιον προνοεῖν μάλιστα περὶ τῆς ὑγιοῦς παιδείας τῶν πολιτῶν· οὐ γὰρ ἔξεστιν ἑκάστῳ αὐτῶν τρέφειν οὐδὲ παιδεύειν ὡς βούλεται τὸν υἱόν, ἀλλ᾽ ἀποστέλλειν αὐτὸν εἰς τὰ κοινὰ τῆς πόλεως διδασκαλεῖα διὰ τὸ συμπαίζειν ἐκεῖ καὶ συσχολάζειν καὶ συμπαιδεύεσθαι, ὥστε σύννομον καὶ σύντροφον μετ᾽ ἀλλήλων ἐθίζειν καὶ οἷον ἐν στρατοπέδῳ τῇ πόλει καὶ δίαιταν ἔχειν ὡρισμένην καὶ διατριβὴν περὶ τὰ κοινά [1]).

Λυκούργου α) ὡς μέλημα τῆς πολιτείας, οὐδόλως καὶ τῶν ἀπόρων ἀποκλειομένων, ἅτε καὶ τὴν περιωρισμένην μοναρχίαν προηρκώς, καθ᾽ ἃ καὶ Ξενοφῶν· δεῖ γὰρ τοὺς πατέρας οὐκ ἰδίους ἡγεῖσθαι τοὺς παῖδας, ἀλλὰ κοινοὺς τῆς πόλεως, ὥστε οὐκ ἐκ τῶν τυχόντων, ἀλλ᾽ ἐκ τῶν ἀρίστων γενέσθαι τοὺς πολίτας καὶ τῶν πολιτικῶν ἔτι πραγμάτων αὐτοὺς εἰδήμονας εἶναι β).

Πλὴν τούτων ἡ σήμερον Παιδαγωγία μεριμνᾷ ὅσον ἐνδέχεται δι᾽ ἰδίων παιδευτικῶν καθιδρυμάτων καὶ περὶ τῶν ἀτελῶς διωργανωμένων, ὡς ἠλιθίων, κωφῶν, τυφλῶν, ἀναπήρων, πάντῃ παρημελημένων καὶ ὀρφανῶν, ἐν ᾧ παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν, ὡς ἐν μέρει καὶ παρ᾽ αὐτῷ τῷ Πλουτάρχῳ, οὗτοι οὐδόλως ἐξετιμῶντο, ἀλλ᾽ ἢ ἀπετίθεντο ἢ εἰς τὴν οἰκτρὰν αὐτῶν κατάστασιν ἐγκατελείποντο· ἡ γὰρ τῶν τοιούτων παίδων ἀπόθεσις οὐ μόνον ἐν Σπάρτῃ, ἀλλὰ καὶ ἐν Ἀθήναις, τοῦ πατρὸς ἔχοντος πολλὰ τέκνα, καὶ ἐν ἄλλαις ἑλληνικαῖς πολιτείαις συνέβαινεν γ).

1) Ἐπεὶ δ᾽ ἓν τὸ τέλος τῇ πόλει πάσῃ φανερόν, ὅτι καὶ τὴν παιδείαν μίαν καὶ τὴν αὐτὴν ἀναγκαῖον εἶναι πάντων· καὶ ταύτης τὴν ἐπιμέλειαν εἶναι κοινὴν καὶ μὴ κατ᾽ ἰδίαν, ὃν τρόπον νῦν ἕκαστος ἐπιμελεῖται τῶν αὑτοῦ τέκνων, ἰδίᾳ τε καὶ μάθησιν ἰδίαν, ἣν ἂν δόξῃ, διδάσκων (Ἀριστ. Πολιτ. *Α*, 3 καὶ *Ε*, 7. *Πρβλ.* καὶ Ἠθικ. Νικ. *Ι*, 9, 13. Ξενοφ. Λακεδ. πολιτ. *Γ*, 1). Πολιτείας δ᾽ ἀρχὰ νέων τροφή (Στοβ. Ἀνθολ. *Β*, 98. 113).

α) Πλουτ. Λυκουργ. 16.

β) Πλουτ. Πολιτ. Παραγγ. 32. *Ἔπιθι καὶ ἀνωτέρω σελ.* 26 *σημ.* 1.

γ) Πλουτ. Περὶ παίδ. ἀγ. 11. *Πρβλ. καὶ κατωτέρω σελ.* 61, 1.

Αὕτη τοίνυν ἔστω ἡ κυρία τῶν ἀρχόντων μέριμνα περὶ τῆς ἀγωγῆς καὶ παιδείας τῶν πολιτῶν· ἄλλως ἐν πάσῃ περιπτώσει μία μόνον ἔν τινι πόλει κακῶν παῦλα καὶ λύσις ἀνθρώποις ἐστίν, ὅταν εἰς ταὐτὸ δύναμίς τε μεγάλη καὶ φρόνησις ἔκ τινος τύχης χρηστῆς ἀπαντήσῃ μετὰ δικαιοσύνης, καὶ ὅταν ἔκ τινος τύχης θείας εἰς ταὐτὸ διανοίᾳ φιλοσόφῳ βασιλικὴν συμπεσοῦσαν δύναμιν ἐγκρατῆ καὶ ὑπερδέξιον τῆς κακίας τὴν ἀρετὴν καταστήσῃ. Τάχα γὰρ οὐδὲ ἀνάγκης τινὸς δεῖ πρὸς τοὺς πολλοὺς οὐδὲ ἀπειλῆς, αὐτοὶ δὲ τὴν ἀρετὴν ἐν ἐκδήλῳ παραδείγματι καὶ λαμπρῷ τῷ βίῳ τοῦ ἄρχοντος ὁρῶντες ἑκουσίως σωφρονοῦσι καὶ συμμετασχηματίζονται πρὸς τὸν ἐν φιλίᾳ καὶ ὁμονοίᾳ τῇ πρὸς αὐτοὺς μετὰ δικαιοσύνης καὶ μετριότητος ἀκύμονα καὶ μακάριον βίον, ἐν ᾧ τὸ κάλλιστον ἁπάσης πολιτείας τέλος ἐστί, καὶ βασιλικώτατος ἁπάντων ὁ τοῦτον τὸν βίον καὶ ταύτην τὴν διάθεσιν τοῖς ὑπηκόοις ἐνεργάσασθαι δυνάμενος.

Ὅταν δὲ τοὐναντίον οἱ ἄρχοντες τῆς πολιτείας κακοήθεις καὶ ἀπείδευτοι ὦσι, τότε καὶ τὸ ὅλον πνεῦμα τῆς πολιτείας τούτου ἕνεκα μοχθηρόν ἐστιν. Οὐ γὰρ ἔστι τότε δημοσίᾳ τιμώμενον ὁρῶντας ἰδίᾳ καταφρονεῖν ὡς ἀχρήστου, καὶ πρὸς τὰ οἰκεῖα νομίζειν ἑκάστῳ μηδενὸς ἄξιον πρᾶγμα τὸ κοινῇ οὕτως εὐδοκιμοῦν καὶ ἀγαπώμενον, ἀλλὰ καὶ πολλῷ τάχιον ἀπὸ τῶν κοινῶν ἐπιτηδευμάτων ἐπιρρέουσιν οἱ ἐθισμοὶ τοῖς ἰδιωτικοῖς βίοις ἢ τὰ καθ' ἕκαστον ὁλισθήματα καὶ πάθη τὰς πόλεις ἀναπίμπλησι πραγμάτων πονηρῶν. Τῷ γὰρ ὅλῳ συνδιαστρέφεσθαι ἀπὸ μέρους εἰς ὅλον ἁμαρτίαι πολλὰς ἐνστάσεις καὶ βοηθείας ἀπὸ τῶν ὑγιαινόντων ἔχουσιν. Ὡς δὲ οἱ γράμματα καὶ μουσικὴν διδάσκοντες αὐτοὶ προανακρούονται καὶ προαναγινώσκουσιν ὑφηγούμενοι τοῖς μανθάνουσιν, οὕτω ὁ ἄρχων ἔθνους τινὸς ἢ πολιτείας οὐ λέγων μόνον οὐδὲ ὑπαγορεύων ἔξωθεν, ἀλλὰ πράττων τὰ κοινὰ καὶ διοικῶν ἐπευθύνει τὸν νέον, ἔργοις ἅμα καὶ λόγοις πλαττόμενον ἐμψύχως καὶ κατασχηματιζόμενον.

β'. Αἱ Οἰκογένειαι.

Πλὴν οὐ μόνον τοὺς ἄρχοντας τῆς πόλεως, ἀλλὰ καὶ τοὺς γονεῖς κατ' ἰδίαν χρὴ περὶ τῆς ἀγωγῆς τῶν τέκνων αὐτῶν προνοεῖν καὶ πρὶν ἢ ταῦτα γεννηθῆναι. Τοῖς ἐπιθυμοῦσιν οὖν ἐνδόξων τέκνων γενέσθαι πατράσιν ὑποθεῖτο ἂν αὐτοῖς πρῶτον μὴ ταῖς

τυχούσαις γυναιξὶ συνοικεῖν· τοῖς γὰρ μητρόθεν ἢ πατρόθεν οὐκ εἰ γεγονύσιν ἀνεξάλειπτα παρακολουθεῖ τὰ τῆς δυσγενίας ὀνείδη παρὰ πάντα τὸν βίον καὶ πρόχειρα τοῖς ἐλέγχειν καὶ λοιδορεῖσθαι βουλομένοις. Ἔπειτα δὲ ὑπὸ πολλῆς ἀβελτερίας καὶ τύφου κατέχονται, ὅσοι τὰς γυναῖκας ἐγκλεισάμενοι φρουροῦσιν ἐξ αὐτῶν μόνον τίκτειν ἀξιοῦντες, κἂν ἄρρενες ὦσι, κἂν παρήλικες, κἂν νοσώδεις, ὡς οὐχὶ πρώτοις τοῖς κεκτημένοις καὶ τρέφουσι τῶν παίδων γινομένων πονηρῶν, ἐὰν ἐκ πονηρῶν γένωνται, καὶ τοὐναντίον χρηστῶν, ἂν τοιαύτης τύχωσι γενέσεως. Ὅθεν καλόν ἐστιν ὡς σύζυγον αἱρεῖσθαι γυναῖκα εὐγενεστέραν καὶ μεμορφωμένην ἢ πλουσιωτέραν, ἡγούμενον ὁμοίως μὲν ἀμφοτέρας ἔχειν βάρος καὶ φρόνημα, ἀλλὰ τὰς γενναίας αἰδουμένας τὰ αἰσχρὰ μᾶλλον ὑπηκόους εἶναι πρὸς τὰ καλὰ τοῖς ἀνδράσιν αὐτῶν. Καλὸς οὖν παρρησίας θησαυρὸς εὐγενία [1]), ἧς δὴ πλεῖστον λόγον ποιητέον τῆς νομίμου παιδοποιΐας γλιχομένοις· τοὐναντίον δὲ πλοῦτον γυναικὸς αἱρεῖσθαι μὲν πρὸ ἀρετῆς ἢ γένους, ἀφιλότιμον καὶ ἀνελεύθερον, ἀρετῇ δὲ καὶ γένει προσόντα φεύγειν, ἀβέλτερον. Ἔτι δὲ τοὺς ἕνεκα παιδοποιΐας πλησιάζοντας ταῖς γυναιξὶν ἤτοι παράπαν ἀοίνους ἢ μετρίως γοῦν οἰνωμένους ποιεῖσθαι προσήκει τὸν συνουσιασμόν. Φίλοινοι γὰρ καὶ μεθυστικοὶ γίνεσθαι φιλοῦσιν, ὧν ἂν τὴν ἀρχὴν τῆς σπορᾶς οἱ πατέρες ἐν μέθῃ ποιησάμενοι τύχωσιν. Ἀλλ' ἐν τῇ οἰκιακῇ ἀγωγῇ δεῖ ἔτι καὶ αὐτὰς τὰς μητέρας τὰ τέκνα δι' ἰδίου γάλακτος τρέφειν καὶ τοὺς μαστοὺς ὑπέχειν καὶ τιτθεύειν, ὡς ἡ φύσις τοῦτο ἐχορήγησε· συμπαθέστερόν τε γὰρ θρέψουσι καὶ διὰ πλείονος ἐπιμελίας ὡς ἐκ τῆς πρὸς ταῦτα οἰκείας στοργῆς καὶ ἀγάπης· εἰ δὲ ταύτας ὅμως ἀδυνάτως ἔχοιεν ἢ διὰ σώματος ἀσθένειαν ἢ πρὸς ἑτέρων τέκνων στεύδουσαι γένεσιν, ἀλλὰ τάς γε τίτθας καὶ τροφοὺς [2]) οὐ τὰς τυχούσας, οὐδὲ

1) *Λαμπρίας ὁ πρεσβύτερος τοῦ Πλουτάρχου υἱὸς ἐξέδοτο ὡς γνωστὸν τυγχάνει κατάλογον πάντων τῶν τε σωθέντων καὶ τῶν ἀπολεσθέντων συγγραμμάτων τοῦ πατρὸς αὐτοῦ. Ἐν τῷ καταλόγῳ δὲ τούτῳ ὡς καὶ ἐν τῷ Ἀνθολογίῳ τοῦ Στοβαίου μνημονεύεται καὶ ἓν ἔργον „περὶ εὐγενίας“, ὅπερ ὅμως ἀπώλετο· τὸ δὲ σωθὲν ἐστιν ὑποβολιμαῖον, συγγραφὲν ὑπ' ἄλλου τινὸς συγγραφέως ὑπ' ὄψει σχόντος τὰ ἐν τῷ Στοβαίῳ τεμάχια. Πρβλ.* καὶ Volkmann, Leben, Schriften und Philosophie des Plutarch. 1. Teil. S. 119.

2) *Πρβλ. Ὁμήρου Ἰλ. Α*, 130. I, 80. 83. 500. *Ὀδ. Α*, 448. *Ὁ δὲ Εὐστάθιος (εἰς Ἰλ. Ζ*, 650. 22) *παρέχει τὴν ἑξῆς μεταξὺ αὐτῶν διαφοράν: τρο-*

τὰς μισθοῦ μόνον φιλούσας, ἀλλ' ὡς ἔνι μάλιστα σπουδαίας δοκιμαστέον ἐστὶ καὶ ἐπιμελητέον.

γ'. Οἱ Πατέρες.

Ἀλλὰ περὶ τῆς κυρίας καὶ λίαν ἐπιμεμελημένης τροφῆς καὶ ἀγωγῆς τῶν τέκνων δεῖ ἐκ πάσης τῆς οἰκογενείας αὐτοὺς τοὺς πατέρας μάλιστα μεριμνᾶν, ἐγρηγορέναι καὶ σωφρονίζειν τοὺς νέους ἐξ ἁπαλῶν ὀνύχων διὰ διδασκαλίας, νουθεσιῶν, παραινέσεων, συμβουλῶν, δεήσεων, ἀπειλῶν καὶ παντοδαπῶν πρὸς ἀρετὴν παραδειγμάτων, ὧν ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας προέρχεται· ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων, ὁ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται. Οὐ δεῖ δὲ πάλιν αὐτοὺς τέλεον σκληροὺς καὶ τραχεῖς εἶναι τὴν φύσιν, ἀλλὰ πολλαχοῦ καὶ συγχωρῆσαί τινα τῷ νεωτέρῳ τῶν ἁμαρτημάτων καὶ ἑαυτοὺς ἀναμιμνήσκειν, ὅτι ἐγένοντο νέοι. Καὶ καθάπερ ἰατροὶ τὰ πικρὰ τῶν φαρμάκων τοῖς γλυκέσι χυμοῖς καταμιγνύντες τὴν τέρψιν ἐπὶ τὸ συμφέρον πάροδον εὗρον, οὕτω δεῖ τοὺς πατέρας τὴν τῶν ἐπιτιμημάτων ἀποτομίαν τῇ πραότητι μιγνῦναι· καὶ τοτὲ μὲν ταῖς ἐπιθυμίαις τῶν παίδων ἐφιέναι καὶ χαλάσαι τὰς ἡνίας, τοτὲ δ' αὖ πάλιν ἀντιτείνειν καὶ ἄγνοιαν πολλάκις προσποιεῖσθαι τῶν ἁμαρτημάτων καὶ σιγήν· οὕτω γὰρ σκιρτῶσα νεότης πωλοδαμνεῖται. Ἐπειδὴ δὲ οἱ πατέρες εἰσὶ μᾶλλον ὑπεύθυνοι διὰ τὴν τῶν τέκνων αὐτῶν ἀγωγήν, εἰκός ἐστιν αὐτοῖς ἀείποτε ἐπαγρυπνεῖν καὶ ἐναργὲς ἑαυτοὺς παράδειγμα τοῖς τέκνοις παρέχειν, ἵνα πρὸς τὸν τούτων βίον ὥσπερ κάτοπτρον ἀποβλέποντες ἀποτρέπωνται τῶν αἰσχρῶν ἔργων καὶ λόγων· ὅπου γὰρ πατέρες εἰσὶν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι· ἔτι δὲ καὶ ἀπάγειν ἐκ τῆς αἰσχρολογίας καὶ ἀπείργειν αὐτοὺς ἐκ τῆς πρὸς τοὺς πονηροὺς ἀνθρώπους συνουσίας· ὁμιλίαι γὰρ κακαὶ φθείρουσιν ἤθη χρηστά. Οὐ μὴν ἀλλὰ προσήκει τοῖς πατράσι καὶ ἀτρυφήτους τοὺς νέους ἀσκεῖν, ὥστε καὶ τῆς γλώσσης κατέχειν καὶ τῆς ὀργῆς ὑπεράνω γίγνεσθαι καὶ τῶν χειρῶν κρατεῖν καὶ παρασκευάζειν αὐτοὺς ἐντευκτικοὺς καὶ φιλοπροσηγόρους καὶ μει-

---

φὸς θηλυκῶς ἡ κατὰ τὸν ἀπογαλακτισμὸν ἐκτρέφουσα τὸ βρέφος, τίτθη δὲ ἡ τοὺς τίτθους ἤγουν μαζοὺς παρέχουσα. Πρβλ. καὶ Naegelsbach-Authenrieth, Homerische Theologie. S. 244. καὶ Πλάτ. Πρωταγ. 325, C—D.

λιχίους. Ὡς γὰρ τὰ ἀνέντευκτα τῶν ἠθῶν ἐστιν ἀξιομίσητα, οὕτω οἱ παῖδες ἀμισεῖς γίγνοιντ' ἂν τοῖς συνοῦσι, μὴ παντελῶς ἐν ταῖς ζητήσεσιν ἀπαραχώρητοι γιγνόμενοι· οὐ γὰρ τὸ νικᾶν μόνον, ἀλλὰ καὶ τὸ ἡττᾶσθαι ἐπίστασθαι καλόν, ἐν οἷς τὸ νικᾶν βλαβερόν. Ὅταν δ' οἱ παῖδες λάβωσιν ἡλικίαν, σφόδρα ἁμαρτάνουσιν οἱ πατέρες ἐκεῖνοι, οὓς ἀνδραπόδοις ἢ βαρβάροις ἢ παλιμβόλοις τὰ τέκνα παραδόντες· ὅτι δ' ἂν εὕρωσιν ἀνδράποδον, οἰνόληπτον καὶ λίχνον πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, τούτῳ φέροντες ὑποβάλλουσι τοὺς υἱούς. Νῦν δὲ τις καὶ καταπτύσειε τῶν πατέρων ἐνίων, οἵτινες πρὶν δοκιμάσαι τοὺς μέλλοντας διδάσκειν οἱ' ἄγνοιαν ἔσθ' ὅτε καὶ δι' ἀπειρίαν ἀνθρώποις ἀδοκίμοις καὶ παρασήμοις ἐγχειρίζουσι τοὺς παῖδας, δι' ὃ καὶ κόλακας καὶ παρασίτους ἀναλαμβάνουσιν, ἀνθρώπους ἀσήμους καὶ καταράτους καὶ τῆς νεότητος ἀποτροπέας καὶ λυμεῶνας· ἀλλ' ἐνίοτε καὶ ἐν γνώσει τῆς τῶν παιδευτῶν ἀπειρίας καὶ μοχθηρίας αἱροῦνται ἀντὶ τῶν χρηστῶν ἢ τοὺς παρακαλοῦντας καὶ ἀρεσκομένους ἢ τοὺς αἰτοῦντας μικρὰν ἀντιμισθίαν, ἅτε εὔωνον ἀμαθίαν διώκοντες. Οὐ μὴν ἀλλ' ἄξιον ἐπιτιμᾶν τῶν πατέρων ἐνίοις, οἵτινες παιδαγωγοῖς καὶ διδασκάλοις ἐπιτρέψαντες τοὺς υἱοὺς αὐτοὶ τῆς τούτων μαθήσεως οὔτε αὐτόπται γίνονται τὸ παράπαν οὔτε αὐτήκοοι, πλεῖστον τοῦ δέοντος ἁμαρτάνοντες. Ἐπειδὰν δὲ τέλος οἱ παῖδες μετὰ τὴν ἐφηβικὴν ἡλικίαν εἰς ἄνδρας ἐγγραφῶσι, τότε πειρατέον τοὺς πατέρας γάμῳ τοὺς τῶν ἡδονῶν ἥττους καὶ πρὸς τὰς ἐπιτιμήσεις δυσηκόους υἱοὺς καταζεῦξαι· δεσμὸς γὰρ οὗτος τῆς νεότητος ἀσφαλέστατος.

Β'.

Ἡ ἐντὸς τῆς σχολῆς Παιδεία.

α'. Οἱ Διδάσκαλοι.

Τὸν διδάσκαλον δεῖ οὐχὶ ἀνδράποδον οὐδ' οἰνόληπτον καὶ λίχνον καὶ πρὸς πᾶσαν πραγματείαν ἄχρηστον, ἀλλὰ τοιοῦτον σπουδαῖον εἶναι τὴν φύσιν, οἷος περ ἦν Φοῖνιξ [1]) ὁ Ἀχιλλέως

1) Ὁμήρου Ἰλ. Ι, 433—620. Ὁ παιδαγωγὸς παρὰ τοις ἀρχαίοις οὐκ εἶχε τοιαύτην ὑψηλὴν θέσιν, οἵαν σήμερον κέκτηται, ἀλλ' ἐθεωρεῖτο καὶ ὡς διδάσκαλος τοῦ διαπαιδαγωγουμένου καὶ ὡς ὑπηρέτης ὁδηγῶν τὸν παῖδα εἰς τὸ σχολεῖον ἢ ἀλλαχοῦ καὶ παραλαμβάνων αὐτὸν ἐκεῖθεν (Πλουτ. ὅτι διδ. ἡ

παιδαγωγός. Ὅθεν διδασκάλους ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι καὶ τοῖς τρόποις ἀνεπίληπτοι καὶ ταῖς ἐμπειρίαις ἄριστοι, ὥστε αὐτοὺς καὶ ἐπιστάτας καὶ τροφεῖς καὶ παιδαγωγοὺς ἅμα εἶναι [1]· πηγὴ γὰρ καὶ ῥίζα καλοκἀγαθίας τὸ νομίμου τυχεῖν παιδείας. Καὶ καθάπερ τοὺς χάρακας οἱ γεωργοὶ τοῖς φυτοῖς παρατιθέασιν, οὕτω οἱ νόμιμοι τῶν διδασκάλων ἐμμελεῖς τὰς ὑποθήκας καὶ παραινέσεις παραπηγνύουσι τοῖς νέοις ὀρθὰ τούτων βλαστάνειν τὰ ἤθη. Τὸν διδάσκαλον δεῖ εἰδέναι ἄριστα ὅτι τῶν ὄντων τὰ μὲν ἕξει διοικεῖται, τὰ δὲ φύσει, τὰ δὲ ἀλόγῳ ψυχῇ, τὰ δὲ καὶ λόγον ἐχούσῃ καὶ διάνοιαν· ὧν ὁμοῦ τι πάντων ὁ ἄνθρωπος μετέσχηκε καὶ γέγονεν ἐν πάσαις ταῖς εἰρημέναις διαφοραῖς· καὶ γὰρ ἕξει συνέχεται, καὶ φύσει τρέφεται, καὶ λόγῳ χρῆται καὶ διανοίᾳ. Μέτεστιν οὖν αὐτῷ καὶ τοῦ ἀλόγου καὶ σύμφυτον ἔχει τὴν τοῦ πάθους ἀρχὴν οὐκ ἐπεισόδιον, ἀλλ' ἀναγκαίαν οὖσαν, οὐδὲ ἀναιρετέαν παντάπασιν, ἀλλὰ θεραπείας καὶ παιδαγωγίας δεομένην. Ὅθεν κατὰ ταῦτα δεῖ καὶ τὸν διδάσκαλον παιδεύειν τοὺς μαθητὰς καὶ σύναμα ἀφαιρεῖν ἐξ αὐτῶν πάσας τὰς περὶ τὸ σῶμα βλαστανούσας ἐπιθυμίας πρὶν ἢ ταύτας ἰσχὺν καὶ βίαν ὑπὸ χρόνου καὶ συνηθείας ἐν τροφῇ μοχθηρᾷ λαβεῖν· δι' ὃ τὸ πᾶν τῆς ἀσκήσεως κράτος ταῖς ἐπεισοδίοις καὶ περιττᾶις προσαγαγόντες ἐπιθυμίαις ἐκπονεῖν χρὴ καὶ ἀποκόπτειν αὐτὰς ἀνείρξεσι καὶ κατοχαῖς ὑπὸ τοῦ λόγου μόνον κολαζομένας. Ἐπειδὴ δὲ ἡ ἄσκησις πάντων ἐπικρατεῖ καὶ ἰσχυρόν ἐστι, πάντων δ' οὖν ἀναγομένων εἰς τὴν φρόνησιν, ἀποδείκνυται πᾶν εἶδος ἀρετῆς ἐπιγιγνόμενον ἑκάστῳ μόνον διὰ διδασκαλίας.

ἀρετὴ 2. περὶ πολυφιλ. 3. Κάτων μέγ. 20. Ἄντων. 29. Ἀριστοτ. Ἠθικ. Νικ. Γ, 12, 8. Πλάτ. Σοφιστ. 229—230 καὶ Ἀλκιβ. Α. 122, A — B. D. Seneca de tranquill. 1. de vita Beata 17.

1) Ὁ ἐπαξίως σήμερον παρ' ἡμῖν τοῖς Χριστιανοῖς τὸ ὄνομα „διδάσκαλος" φέρων κέκτηται τὴν μονομερῆ ἀντιπροσωπείαν τοῦ Ἰησοῦ Χριστοῦ, ὃς κατελθὼν εἰς τὸν κόσμον ἐπετέλεσε τὸ μέγα αὐτοῦ ἔργον ὡς βασιλεὺς ὡς προφήτης καὶ μάλιστα ὡς διδάσκαλος μετὰ τῶν δώδεκα αὐτοῦ μαθητῶν. Τοιαύτην ὀπωσοῦν ὑψηλὴν καὶ θείαν ἀξίαν ἀπένεμον τῷ διδασκάλῳ ἐν τῇ κλασικῇ ἐποχῇ καὶ πολλοὶ τῶν παρ' Ἕλλησιν ἀρχαίων φιλοσόφων καὶ παιδαγωγῶν, καθ' ἃ καὶ Πλάτων λέγει· „διδασκάλους θεούς ..., οἳ τὸν βίον ἡμῶν κατεσκεύασαν πρός τε τὴν καθ' ἡμέραν δίαιταν τέχνας πρώτους παιδευσάμενοι καὶ πρὸς τὴν ὑπὲρ τῆς χώρας φυλακὴν ὅπλων κτῆσίν τε καὶ χρῆσιν διδαξάμενοι" (Μενεξ. 238, C).

Ἀλλ᾽ ἔνιοι τῶν διδασκάλων σπεύδοντες τοὺς παῖδας ἐν πᾶσι τάχιον πρωτεῦσαι, πόνους αὐτοῖς ὑπερμέτρους ἐπιβάλλουσιν, οἷς ἀπαυδῶντες ἐκπίπτουσι καὶ ἄλλως βαρυνόμενοι ταῖς κακοπαθείαις οὐ δέχονται τὴν μάθησιν εὐηνίως [1]). *Ὥσπερ γὰρ τὰ φυτὰ τοῖς μὲν μετρίοις ὕδασι τρέφεται, τοῖς δὲ πολλοῖς πνίγεται, τὸν αὐτὸν τρόπον ψυχὴ τοῖς μὲν συμμέτροις αὔξεται πόνοις, τοῖς δ᾽ ὑπερβάλλουσι βαπτίζεται. Δοτέον οὖν τοῖς παισὶν ἀναπνοὴν τῶν συνεχῶν πόνων, ἐνθυμουμένους ὅτι πᾶς ὁ βίος ἡμῶν εἰς ἄνεσιν καὶ σπουδὴν διῄρηται· καὶ διὰ τοῦτο οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη· οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη· οὐδὲ χειμών, ἀλλὰ καὶ εὐδία· οὐδὲ ἐνεργοὶ πράξεις, ἀλλὰ καὶ ἑορταί. Ἄρτυμα γάρ ἐστι τῶν πόνων ἡ ἀνάπαυσις, ἣν καὶ πράξεων διορισμὸν λέγουσιν εἶναι καὶ τὰς πρὸς τὸ θεῖον ἐντεύξεις ποιεῖν, ὅταν χρόνον ἔχωμεν καὶ σχολὴν ἄγωμεν. Ἐπειδὴ δὲ αἱ πρῶται μαθήσεις πολὺν ἔχουσι θόρυβον καὶ πόνον καὶ ἀσάφειαν, εἶτα προϊόντι κατὰ μικρὸν ὥσπερ πρὸς ἀνθρώπους συνήθεια πολλὴ καὶ γνῶσις ἐγγενομένη πάντα φίλα καὶ χειροήθη καὶ ῥᾴδια λέγειν τε καὶ πράττειν παρέχει, δεῖ τούτου ἕνεκα τοὺς διδασκάλους πάντων μάλιστα τὴν μνήμην τῶν παίδων ἀσκεῖν καὶ συνεθίζειν· αὕτη γὰρ ὡσπερεὶ τῆς παιδείας ἐστὶ ταμιεῖον ἔν τε τῷ γεννᾶν καὶ τῷ τρέφειν. Καὶ τοίνυν ταύτην κατ᾽ ἀμφότερα ἀσκητέον εἴτε ἐκ φύσεως μνήμονες εἶεν οἱ παῖδες, εἴτε καὶ τοὐναντίον ἐπιλήσμονες. Τὴν μὲν γὰρ πλεονεξίαν τῆς φύσεως ἐπιρρώσομεν, τὴν δ᾽ ἔλλειψιν ἀναπληρώσομεν. Τοὺς δ᾽ ἀμνήμονας καὶ ἀνοήτους ὑπεκρεῖ τὰ γιγνόμενα μετὰ τοῦ χρόνου· δι᾽ ὃ μηθὲν στέγοντες μηδὲ διατηροῦντες ἀεὶ κενοὶ μὲν ἀγαθῶν, πλήρεις δ᾽ ἐλπίδων πρὸς τὸ μέλλον ἀποβλέπουσι τὸ παρὸν προϊέμενοι. Ὅθεν μὴ λανθανέτω μηδὲ τοῦτο τοὺς διδασκάλους,*

1) *Εὐήθεις ὅσοι τῶν διδασκάλων μὴ πρὸς τὴν τῶν γνωρίμων δύναμιν, ἀλλὰ πρὸς τὴν ἑαυτῶν ὑπερβάλλουσαν ἕξιν ἐπιχειροῦσι ποιεῖσθαι τὰς ὑφηγήσεις, οὐκ εἰδότες ὡς διδασκαλίας ἐπίδειξις μακρῷ διενήνοχεν· ὁ μὲν γὰρ ἐπιδεικνύμενος τῇ τῆς παρούσης ἕξεως φορᾷ καταχρώμενος ἀνεμποδίστως τὰ ἐν μακρῷ χρόνῳ πονηθέντα οἴκοι, καθάπερ γραφέων ἔργα ἢ πλαστῶν, εἰς τοὐμφανὲς προφέρει τὸν παρὰ τῶν πολλῶν θηρώμενος ἔπαινον· ὁ δ᾽ αὖ διδάσκειν ἐπιχειρῶν, οἷά τις ἰατρὸς ἀγαθὸς οὐ πρὸς τὸ τῆς τέχνης μέγεθος, ἀλλὰ πρὸς τὴν τοῦ θεραπευομένου δύναμιν ἀφορῶν, οὐχ ὅσα ἐκ τῆς ἐπιστήμης πεπόρικεν, ἀμύθητα γὰρ ταῦτά γε, ἀλλ᾽ ὅσων τῷ κάμνοντι δεῖ, στοχαζόμενος τοῦ μετρίου προσφέρων ἐπιδίδωσι* (Φίλων. Ἰουδ. *περὶ τῶν τοῦ Κάϊν ἐκγόνων* § 42. *σελ.* 37. *ἐκδ.* Richter).

ὅτι τὸ μνημονικὸν τῆς μαθήσεως μέρος οὐ μόνον πρὸς παιδείαν, ἀλλὰ καὶ πρὸς τὰς τοῦ βίου πράξεις οὐκ ἐλαχίστην συμβάλλεται μοῖραν· ἡ γὰρ τῶν γεγενημένων πράξεων μνήμη τῆς περὶ τῶν μελλόντων εὐβουλίας γίνεται παράδειγμα.

β'. Οἱ Μαθηταί.

Τὸν δὲ μαθητὴν [1]) *ὡσαύτως ὡς πρὸς τὴν ἐν τῇ ψυχῇ αὐτοῦ διάθεσιν οὔτε θρασὺν οὔτ' ἄτολμον καὶ καταπλῆγα εἰκὸς εἶναι· τὸ μὲν γὰρ εἰς ἀναισχυντίαν, τὸ δὲ εἰς ἀνδραποδωδίαν περιίσταται· ἐντεχνον δὲ τὸ τὴν μέσην ἐν ἅπασι τέμνειν ἐμμελές τε. Ὅθεν ἀνάγκη αὐτοὺς ἀσκεῖν καὶ διδάσκειν καὶ μανθάνειν καὶ μελετᾶν καὶ γυμνάζεσθαι καὶ τὸ πρῶτον ἐθίζειν εἰς τὸ Ἑλληνικὰ καὶ περίτρανα λαλεῖν, εἰς τὸ ἀπὸ στόματος λέγειν τὰ ἄριστα τῶν συγγραφέων καὶ μάλιστα τὰ Ὁμήρου ἔπη* [2]) *καὶ ἄλλων ποιητῶν* [3])*· λόγῳ γὰρ ποίησις ἡδύσματα μέλη καὶ μέτρα καὶ ῥυθμοὺς ἐφαρμόσασα τὸ παιδεῦον αὐτοῦ κινητικώτερον ποιεῖ· ἔτι δὲ καὶ εἰς τὸ ἀπαγγέλλειν ταῦτα καλῶς καὶ μετά τινος ὑποκρίσεως, πρεπούσης τῷ ἤθει τῶν ὑποκειμένων προσώπων καὶ πλάσματος φωνῆς καὶ σχήματος καὶ διαθέσεων συνῳδὰ τοῖς λεγομένοις· μέγα γὰρ πρὸς πίστιν χρὴ εἶναι τὸν τόνον καὶ τὴν ὑπόκρισιν τῶν λεγόντων. Ταῦτα ὅμως οἱ μὲν αὐστηροὶ καὶ χαρίεντες τῶν μαθητῶν ἀγαπῶσιν ὑπερφυῶς· οἱ δ' ἄνανδροι καὶ διατεθρυμμένοι τὰ ὦτα δι' ἀμουσίαν καὶ ἀπειροκαλίαν, οὓς φησιν Ἀριστόξενος χολεῖν ἐμεῖν, ὅταν ἐναρμονίου ἀκούσωσιν, ἐκβάλλουσιν· ἐπικρατεῖ γὰρ ἡ θηλύτης. Ἀνάγκη τοίνυν τὸν μαθητὴν ἐπιδιώκειν τῶν μαθημάτων ἀκροᾶσθαι· πάσης γὰρ ἀκροάσεως ἀπειργόμενος ὁ νέος καὶ λόγου μηδενὸς γευόμενος, οὐ μόνον ἄκαρπος ὢν ὅλως καὶ ἀβλαστὴς διαμένει πρὸς ἀρετήν, ἀλλὰ καὶ διαστρέφοιτο πρὸς κακίαν, ὥσπερ ἐκ χώρας ἀκινήτου καὶ ἀργῆς, ἄγρια πολλὰ τῇ ψυχῇ ἀναδιδούς. Καὶ δὴ χρὴ αὐτὸν ἔν τε ἄκρᾳ σιγῇ καὶ ἐν προσοχῇ εἶναι· δι' ὃ αὐτὸν τῇ προσοχῇ καταδυόμενον εἰς τὸν νοῦν τοῦ λόγου καὶ τὴν διάθε-*

---

1) *Οἱ μαθηταὶ ἐκαλοῦντο καὶ ἀκροαταί, ὁμιληταί, φοιτηταί, γνώριμοι, σχολαστικοί, καὶ ἐν μεταγενεστέρᾳ ἐποχῇ σπουδασταί, σχολάριοι, ποδηγοί.*

2) *Ὁ Ὅμηρος ἐχρησίμευσεν ὡς τὸ μόνον ἀναγνωστικὸν βιβλίον μέχρι τῆς ἁλώσεως τῆς Κωνσταντινουπόλεως.*

3) *Πρβλ. καὶ Πλουτ. Ἀλκιβ. 7. Ἀλεξ. 8. Ξενοφ. Συμπ. Γ, 5. Αἰσχ. κατὰ Κτησ. § 135. Λουκιαν. Ἀνάχαρσ. 21. Ἰσοκρ. πρὸς Νικοκλ. 1.*

σιν τοῦ λέγοντος ἔλκειν ἀπ᾽ αὐτῆς τὸ χρήσιμον καὶ ὠφέλιμον, μεμνημένον ὅτι οὐκ εἰς θέατρον οὐδὲ ᾠδεῖον, ἀλλ᾽ εἰς σχολὴν καὶ διδασκαλεῖον ἀφῖκται, τῷ λόγῳ τὸν βίον ἐπανορθωσόμενος.

Ἀλλ᾽ ἔνιοι τῶν μαθητῶν ὑπὸ νωθείας ἀηδεῖς καὶ κοπώδεις ὄντες οὐκ ἐθέλουσι γενόμενοι καθ᾽ αὑτοὺς πράγματα ἔχειν, ἀλλὰ παρέχουσι τῷ λέγοντι πολλάκις ἐκπυνθανόμενοι περὶ τῶν αὐτῶν, ὥσπερ ἀπτῆνες νεοσσοὶ κεχηνότες ἀεὶ πρὸς ἀλλότριον στόμα καὶ πᾶν ἕτοιμον ἤδη καὶ διαπεπονημένον ὑπ᾽ ἄλλων ἐκλαμβάνειν ἐθέλοντες. Ἕτεροι δὲ προσοχῆς καὶ δριμύτητος ἐν οὐ δέοντι θηρώμενοι δόξαν ἀποκναίουσι λαλιᾷ καὶ περιεργίᾳ τοὺς λέγοντας, ἀεί τι προσδιαποροῦντες τῶν οὐκ ἀναγκαίων καὶ ζητοῦντες ἀποδείξεις τῶν οὐ δεομένων. Ἀντιλαμβανόμενοι γὰρ ἑκάστοτε κεναῖς καὶ περιττοῖς ἐρωτήσεσι τοῦ διδάσκοντος ὥσπερ ἐν συνοδίᾳ τὸ ἐνδελεχὲς ἐμποδίζουσι τῆς μαθήσεως, ἐπιστάσεις καὶ διατριβὰς λαμβανούσης. Καὶ δὴ προσήκει αὐτοῖς νέοις οὖσι τῶν λεχθέντων τινὰ μόλις ὀψὲ τοὺς πολλοὺς αἰσθάνεσθαι γέροντας γενομένους. Δι᾽ ὃ ἐν τῇ παιδικῇ ἡλικίᾳ δεῖ μόνον τὰ κεφάλαια τῇ νοήσει περιλαβεῖν καὶ ἔπειτα αὐτοὺς δι᾽ αὑτῶν τὰ λοιπὰ συντιθέναι καὶ τῇ μνήμῃ χειραγωγεῖν τὴν εὕρεσιν καὶ τὸν ἀλλότριον λόγον οἷον ἀρχὴν καὶ σπέρμα λαβόντας ἐκτρέφειν καὶ αὔξειν, καὶ ἅμα τῇ μαθήσει τὴν εὕρεσιν ἀσκεῖν, ἵνα μὴ σοφιστικὴν ἕξιν μηδὲ ἱστορικήν, ἀλλ᾽ ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωσιν, ἀρχὴν τοῦ καλῶς βιῶναι τὸ καλῶς ἀκοῦσαι νομίζοντες. Ὅταν δ᾽ ἔπειτα κατάστασιν ὑγιεινὴν ἡ κρίσις λαβοῦσα τοῖς ἤθος ἐμποιεῖν καὶ μέγεθος δυναμένοις ἄρξηται συμφέρεσθαι, τότε δύνανται καὶ λόγους ζητεῖν, ὧν εἴσω μᾶλλον ἢ ἔξω τὰ ἴχνη τέτραπται. Ἀλλ᾽ οἱ πλεῖστοι τῶν μαθητῶν τῇ πλείστῃ περιπίπτουσιν ἀσαφείᾳ καὶ ἀγνοίᾳ δι᾽ αὐτοὺς ἀπ᾽ ἐναντίων φύσεων ταὐτὸν ἁμαρτάνοντες. Οἱ μὲν γὰρ αἰσχύνῃ τινὶ καὶ φειδοῖ τοῦ λέγοντος ὀκνοῦντες ἀνερέσθαι καὶ βεβαιώσασθαι τὸν λόγον, ὡς ἔχοντες ἐν νῷ συνεπινεύουσιν· οἱ δ᾽ ὑπὸ φιλοτιμίας ἀώρου καὶ κενῆς πρὸς ἑτέρους ἀμίλλης ὀξύτητα καὶ δύναμιν εὐμαθίας ἐπιδεικνύμενοι πρὶν ἢ λαβεῖν ἔχειν ὁμολογοῦντες οὐ λαμβάνουσιν. Οὐδὲν δὲ δεόμενοι, ἀλλὰ διατριβῆς καὶ παιδιᾶς ἕνεκα συνθέντες τινὰς ἐρωτήσεις προβάλλουσι μετὰ σπουδῆς ἀποκρινόμενοι τοῖς διδασκάλοις καὶ ἀνακινοῦσιν αὐτοῖς τὸν λῆρον. Οἷα δὲ τερθρευόμενοι μάλιστά τινες τῶν νέων καὶ παρεπιδεικνύμενοι διαλεκτικὴν ἢ μαθηματικὴν ἕξιν εἰώθασι προβάλλειν περὶ τῆς τῶν

ἀορίστων τομῆς καὶ τὶς ἡ κατὰ πλευρὰν ἢ κατὰ διάμετρον κίνησις καὶ πλείστας ἄλλας ἐρωτήσεις ἀκαίρους καὶ κενὰς περιεχομένου. Πρὸς οὓς ἐστιν εἰπεῖν, Οὐ σὺ, ὦ νεανία, περὶ τοιούτων ζητημάτων ὥρα σκοπεῖν, ἀλλὰ πῶς οἰήματος καὶ ἀλαζονείας, ἐρώτων τε καὶ φλυαρίας ἀπολυθεὶς εἰς βίον ἄτυφον καὶ ὑγιαίνοντα καταστήσεις σαυτόν. Ὅθεν δεῖ τοὺς παῖδας οὐ μόνον ἐν τῇ ἀκροάσει τῶν μαθημάτων, ἀλλὰ καὶ ἀείποτε τῆς γλώσσης κρατεῖν· κρηπὶς γὰρ πάσης τῶν νέων ἀρετῆς καὶ κόσμος ἀσφαλὴς ἐστιν ἡ σιωπή, ἐξ ἧς οὐδεὶς μετενόησεν, ἐν ᾧ λαλήσαντες πολλοί· καὶ τὸ μὲν σιγηθὲν ἐξειπεῖν ῥᾴδιον, τὸ δὲ ῥηθὲν ἀναλαβεῖν ἀδύνατον [1]). Τοὺς δὲ φλυάρους καὶ ἀδολέσχους, πάσης πίστεως στερουμένης, πάντες φεύγουσι προτροπάδην· δι' ὃ σοφὸν εὔκαιρος σιγὴ καὶ παντὸς λόγου κρείττων, καὶ ὡς σεμνὸν καὶ ἅγιον καὶ μυστηριῶδες ἡ σιωπὴ θεωρούμενον. Οὐ μὴν ἀλλὰ καὶ ἐθίζειν αὐτοὺς τοῖς πρεσβυτέροις ὑπακούειν καὶ ἀεὶ τἀληθῆ λέγειν· τὸ γὰρ ψεύδεσθαι δουλοπρεπὲς καὶ πᾶσιν ἀνθρώποις μισεῖσθαι ἄξιον καὶ οὐδὲ μετρίοις δούλοις συγγνωστόν. Ταῦτα οὖν ἀποτελοῦσι τὴν τῶν παίδων εὐκοσμίαν καὶ σωφροσύνην.

γ'. Τὰ Μέσα.

Πρὸς πρόσφορον καὶ ἀποτελεσματικὴν ἐργασίαν ἐκ μέρους τῶν τε διδασκάλων καὶ τῶν μαθητῶν συντείνουσιν οὐκ ὀλίγον καὶ τὰ πρὸς τὸν σκοπὸν τοῦτον μέσα, ἅτινά εἰσιν ὁ τρόπος τῆς διδασκαλίας, αἱ τιμωρίαι καὶ αἱ ποιναί, αἱ νουθεσίαι καὶ αἱ παραινέσεις, οἱ ἔπαινοι καὶ οἱ ψόγοι, αἱ ἐπιτιμήσεις καὶ αἱ φιλοτιμίαι τῶν νέων, πρὸς ἃς τὸν διδάσκαλον προσεκτικόν, ἔμπειρον, εἰδήμονα καὶ ἀμερόληπτον κριτὴν δεῖ εἶναι. Ἐν τῇ παιδεύσει τοίνυν τῶν νέων τὸ πρῶτον εἰκός ἐστι τοὺς διδασκάλους λίαν προσέχειν τὸν νοῦν οὐ μόνον πρὸς ἐκλογὴν ἁρμοδίας ἐκ τῶν συγγραφέων ὕλης, ἀλλὰ καὶ εἰς τὸν τῆς διδασκαλίας τρόπον πρὸς κατάληψιν αὐτῶν. Ἐὰν γὰρ ἀτέχνως ἡ διδασκαλία τῶν συγγραφέων γίνηται, τότε ἡ περὶ τοῦ ὠφελίμου καὶ χρησίμου διαστρέφεται τῶν νέων

1) Ἔπιθι καὶ τὸ ἀναφερόμενον εἰς τὸν Κράτητα·
„Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν·
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη.
(Bergk, Poetae Lyrici Graeci S. 674).

ἀντίληψις, θηρευόντων μὲν ἐν τοῖς συγγραφεῦσι μόνον τὰς ἀττικὰς καὶ ἰσχνὰς λέξεις, ἀμελούντων δὲ τῶν ἐν αὐτοῖς δογμάτων καὶ πραγμάτων καὶ τὸ καθαρόν τε καὶ ἀττικὸν ὥσπερ δρόσον καὶ χνοῦν ἀποδρεπομένων. Ταῦτα δὲ τὰ νοσήματα πολλὴν μὲν ἐρημίαν νοῦ καὶ φρενῶν ἀγαθῶν, πολλὴν δὲ τερθρείαν καὶ στωμυλίαν ἐν ταῖς σχολαῖς πεποίηκε, τῶν μειρακίων οὔτε βίον οὔτε πρᾶξιν, οὔτε πολιτείαν φιλοσόφου παραφυλαττόντων ἀνδρός, ἀλλὰ λέξεις καὶ ῥήματα καὶ τὸ καλῶς ἀπαγγέλλειν ἐν ἐπαίνῳ τιθεμένων, τὸ δ᾽ ἀπαγγελλόμενον εἴτε χρήσιμον εἴτ᾽ ἄχρηστον εἴτ᾽ ἀναγκαῖον [1]) εἴτε κενόν ἐστι καὶ περιττὸν οὐκ ἐπισταμένων οὐδὲ βουλομένων ἐξετάζειν. Δι᾽ ὃ δεῖ ἐν ταῖς ἀκροάσεσι καὶ ἀναγνώσεσιν ἐθίζειν, ὥσπερ ὄψῳ χρωμένους μετρίως τῷ τέρποντι, τὸ χρήσιμον ἀπ᾽ αὐτοῦ καὶ τὸ σωτήριον διώκειν, καὶ ἐκτρέφειν τε καὶ αὔξειν ἀποδείξεσι καὶ μαρτυρίαις φιλοσόφοις, οὐ μὴν ἀλλὰ καὶ ποιήμασι καὶ ἱστορίᾳ παραφυλάττειν ἑαυτὸν πρὸς ἐπανόρθωσιν ἤθους ἢ πάθους κουφισμόν.

Τοὺς διδασκάλους τοίνυν δέον πολλάκις μὲν ἐπαίνοις τοὺς νέους παρορμῶντας, πολλάκις δὲ νουθεσίαις κολάζοντας· ὧν τῷ μὲν ἕπεται τὸ ἥδεσθαι, τῷ δὲ τὸ λυπεῖσθαι. Καὶ γὰρ ἡ νουθεσία καὶ ὁ ψόγος ἐμποιεῖ μετάνοιαν καὶ αἰσχύνην, ὧν τὸ μὲν λύπη τῷ γένει, τὸ δὲ φόβος ἐστί· καὶ τούτοις μάλιστα χρῶνται πρὸς τὰς ἐπανορθώσεις. Ἐν στιγμῇ δὲ τῶν παραπτωμάτων, ἅπερ ἢ δι᾽ ἀσθένειαν ἢ διὰ τὴν ἀμέλειαν ἢ διὰ προπέτειαν ἢ διὰ ῥᾳθυμίαν ἢ δι᾽ ἀνελευθερίαν ἢ διὰ νεότητα μάλιστα συμβαίνουσι, δεῖ τὸ περὶ τὰς τιμωρίας θηριῶδες καὶ λάβρον ἀφαιρεῖν καὶ διδάσκειν μὴ σὺν ὀργῇ, μηδ᾽ ὅτε μάλιστα φλέγεται καὶ σφαδάζει πηδῶν ὁ θυμὸς τῶν φρενῶν ἀνωτέρω, καθάπερ δίψαν ἢ πεῖναν ἀποπιμπλάντας, ἐπιπηδᾶν τοῖς λελυπηκόσιν, ἀλλὰ μιμουμένους τὴν ἐκείνου πραότητα καὶ τὴν μέλλουσαν ἐν τάξει καὶ μετ᾽ ἐμμελείας τὸν ἥκιστα μετανοίᾳ προσοισόμενον χρόνον ἔχοντας σύμβουλον ἅπτεσθαι τῆς δίκης. Ἐν δὲ τῇ δίκῃ ταύτῃ εἰκός ἐστι τὸν διδάσκαλον τὰ πάθη τῶν μαθητῶν διορᾶν, εἴ πη τι καμπτόμενα πρὸς μετάνοιαν ἐνδίδωσι καὶ χρόνον γε πρὸς ἐπανόρθωσιν· τότε γὰρ τὰς ὑπὸ κακῆς ἀγωγῆς ἢ ὑπὸ τροφῆς καὶ ὁμιλίας φαύλης ἢ

1) *Εἴτ᾽ — εἴτ᾽, ἀντὶ: εἴτε — εἴτε κατὰ τὴν ἔκδοσιν τοῦ Γρηγορίου Βερναρδάκη.*

ἐξ ἀγνοίας προερχομένας κακίας ἐξαιροῦσι τῷ χρόνῳ καὶ ἀποκόπτουσι. Μόνον δὲ ἐν ἐσχάτῃ ἀνάγκῃ ἔξεστι τοῖς διδασκάλοις αὐστηροτάτους γίγνεσθαι· τὸ γὰρ ἄνευ τῆς ἐσχάτης ἀνάγκης ἐπιφέρειν σίδηρον οὔτε ἰατρικὸν οὔτε πολιτικόν, ἀλλ᾽ ἀτεχνίας μὲν ἀμφότερα, τούτῳ δὲ καὶ τὸ ἀδικεῖν μετ᾽ ὠμότητος πρόσεστι. Δίκαιον οὖν ἐστι πρῶτον μὲν τὸν διδάσκαλον νεῦμα διὰ σιωπῆς τοῖς μαθηταῖς προσάγειν, ὥστε τὴν δυσκίνητον αὐτῶν φύσιν ῥᾳδίως ὑπὸ λόγου καὶ οὐχὶ δι᾽ ἔριδος πρὸς τὸ δέον ἄγεσθαι· μόνον δ᾽ ὅταν παραστῇ ἀνάγκη, τότε ἐπιφέρειν αὐτοῖς τὰς τιμωρίας, ἀλλ᾽ οὐχὶ πάλιν ἐν στιγμῇ, καθ᾽ ἣν ὁ θυμὸς ἐκβράσσει τῆς ψυχῆς, ἡγούμενον πᾶσαν ἐξουσίαν ἐπὶ τῶν ὁμοίων αὐτῷ ἔχειν, ἅτε μηδενὸς ἐνισταμένου μηδὲ κωλύοντος· ἡ γὰρ συνεχὴς πληγὴ καὶ ἀπαραίτητος θεωρουμένη οὐ μετάνοιαν ἐμποιεῖ τοῦ ἁμαρτάνειν, ἀλλὰ τοῦ λανθάνειν πρόνοιαν μᾶλλον· δι᾽ ὃ εἰκός ἐστι τὸ κολάζειν ποιεῖν εὐκαίρως καὶ μετρίως καὶ ὠφελίμως καὶ πρεπόντως. Ὅ τε γὰρ χρόνος ἐμποιεῖ τῷ πάθει διατριβὴν καὶ μέλλησιν ἐκλύουσαν, ἥ τε κρίσις εὑρίσκει καὶ τρόπον πρέποντα καὶ μέγεθος ἁρμόττον κολάσεως· ἔτι δὲ οὐχ ὑπολείπεται πρόφασις τῷ διδόντι δίκην ἀντιτείνειν πρὸς τὴν ἐπανόρθωσιν, ἂν μὴ κατ᾽ ὀργήν, ἀλλ᾽ ἐξελεγχθεὶς κολάζηται. Οὐδὲ πάλιν πρὸς ἡδονὴν δεῖ καθάπερ ἀπολαύσματος ὀρέξει τῆς τιμωρίας ἐμφορεῖσθαι καὶ χαίρειν κολάζοντας, εἶτα μετανοεῖν· ὧν τὸ μέν, θηριῶδες, τὸ δέ, γυναικῶδες· ἀλλὰ καὶ λύπης καὶ ἡδονῆς χωρὶς ἐν τῷ τοῦ λογισμοῦ χρόνῳ τὴν δίκην κολάζεσθαι, μὴ ὑπολείποντα τῷ θυμῷ πρόφασιν. Δι᾽ ὃ τὸ πρῶτον καὶ μόνον πρὸς τὴν τῶν ἠθῶν ἐπανόρθωσιν μέσον ἐστὶν ἡ πρὸς τοὺς μαθητὰς στοργὴ καὶ εἰλικρινὴς τῶν διδασκάλων ἀγάπη καὶ συμπάθεια [1]).

Προσήκει οὖν τοὺς παῖδας ἐπὶ τὰ καλὰ τῶν ἐπιτηδευμάτων ἄγειν παραινέσεσι καὶ λόγοις, μὴ δὲ πληγαῖς μηδ᾽ αἰκισμοῖς· ἀπονάρκωσι γὰρ καὶ φρίττουσι πρὸς τοὺς πόνους, τὰ μὲν διὰ τὰς ἀλγηδόνας τῶν πληγῶν, τὰ δὲ καὶ διὰ τὰς ὕβρεις. Ἔπαινοι δὲ καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι τοῖς ἐλευθέροις, οἱ μὲν ἐπὶ τὰ καλὰ παρορμῶντες, οἱ δὲ ἀπὸ τῶν αἰσχρῶν ἀνείργοντες. Δεῖ δὲ ἐναλλὰξ καὶ ποικίλαις χρῆσθαι ταῖς ἐπιπλήξεσι καὶ τοῖς ἐπαίνοις· κἀπειδάν ποτε σφοδρῶς ἐπιπλήξωσιν, ἐν αἰσχύνῃ

---

1) *Πρβλ. καὶ* **Στράβωνα** *I*, B, 3.

ποιεῖσθαι· καὶ πάλιν ἀνακαλεῖσθαι τοῖς ἐπαίνοις· καὶ μιμεῖσθαι τὰς τίτθας, αἵτινες, ἐπειδὰν τὰ παιδία κλαυθμυρίσωσιν, εἰς παρηγορίαν πάλιν τὸν μαστὸν ὑπέχουσι. Δεῖ δὲ αὐτοὺς μήτε τοῖς ἐγκωμίοις ἐπαίρειν καὶ φυσᾶν· χαυνοῦνται γὰρ ταῖς ὑπερβολαῖς τῶν ἐπαίνων καὶ θρύπτονται. Δεῖται τοίνυν καὶ τὸ περὶ τοὺς ἐπαίνους καθῆκον εὐλαβίας τινὸς καὶ μετριότητος διὰ τὸ μήτε τὴν ἐλλειψιν αὐτοῦ μήτε τὴν ὑπερβολὴν ἐλευθέριον εἶναι. Ἐνίοις γὰρ ἐξαρκεῖ, κἂν μὴ διὰ φωνῆς ἐπιμαρτυρῶμεν, ὄμματος πραότητα καὶ γαλήνην προσώπου καὶ διάθεσιν εὐμενῆ καὶ ἄλυπον ἐμπαρασχεῖν. Ἐν δὲ τοῖς ψόγοις πάλιν δεῖ τὴν φιλαυτίαν ἀφαιρεῖν· ἡ γὰρ μέμψις καὶ φίλαυτον καὶ μικρολόγον. Ὅθεν οἱ νέοι τότε ἀντεγκαλοῦσι καὶ καταφρονοῦσι τοῖς ἀεὶ μεμφομένοις καὶ εἰς τοὺς κόλακας διδασκάλους ῥίπτονται, ἐξ ὧν οὐδὲν χρήσιμον καὶ ὠφέλιμον μανθάνειν δύνανται· τοὐναντίον δὲ φίλος ἐπιεικὴς καὶ πατὴρ χρηστὸς καὶ διδάσκαλος ἐπαίνῳ μᾶλλον ἢ ψόγῳ χαίρει πρὸς ἐπανόρθωσιν ἤθους χρώμενος.

Ἀλλ' ὥσπερ οὐκ ἄγαν τὸν ἔπαινον χρὴ ἐπιχέειν, οὕτω καὶ τὰς τιμωρίας οὐχὶ αὐστηρῶς καὶ ἀμέσως ἐν στιγμῇ τῶν παραπτωμάτων ἐπιβάλλειν, ἀλλὰ καὶ νουθεσίαις πολλάκις καὶ ἐπιπλήξεσι τὸ πρῶτον χρῆσθαι, ὁπότε πάσχειν δεῖ καὶ δάκνεσθαι, μὴ συντρίβεσθαι δὲ μηδ' ἀθυμεῖν τὸν ἐλεγχόμενον. Ἡ γὰρ νουθεσία καθαρεύουσα παντὸς ἰδίου πάθους αἰδεστόν ἐστι καὶ σεμνὸν καὶ ἀναντίβλεπτον, ὅταν ἐν τῇ γλυκύτητι ἅμα τὸ πικρὸν καὶ αὐστηρὸν κέκτηται καὶ δι' ἀκμῆς καὶ πίστεως καθάπτηται. Εἰκὸς δ' οὖν ἐστιν εὐθὺς ἐξ ἀρχῆς πάσχειν τι τοὺς παῖδας πρὸς δόξαν, ἀλγυνομένους τε τοῖς ψόγοις καὶ μεγαλυνομένους ὑπὸ τῶν ἐπαίνων· ὁ δὲ ἀπαθὴς καὶ ἀκίνητος ἐν τούτοις ὡς ἀφιλότιμος πρὸς ἀρετὴν καὶ ἀργὸς καταφρονεῖται. Οὐ μὴν ἀλλὰ καὶ τῆς ἁμαρτίας τὴν νουθέτησιν καὶ ἀνακάλυψιν ἀπόρρητον δεῖ εἶναι καὶ μὴ πανηγυρικὴν μηδ' ἐπιδεικτικὴν μηδὲ μάρτυρας καὶ θεατὰς συνάγουσαν. Ἐὰν γὰρ νουθετῇ τις ἐν πολλοῖς καὶ μὴ φειδόμενος, πᾶν νόσημα καὶ πᾶν πάθος εἰς τὸ ἀναίσχυντον καθίστησι· τὸ δὲ μετ' εὐλαβίας ἀτρέμα προσιέναι καὶ ἅπτεσθαι τοῦ ἁμαρτάνοντος ὑπερείπει καὶ διεργάζεται τὴν κακίαν ἀναπιμπλαμένην τοῦ αἰδεῖσθαι τὸ αἰδούμενον. Ἥκιστα δὲ πρέπει ἐν ὄψει συμμαθητῶν καὶ γνωρίμων διδάσκαλον τὸ ἁμάρτημα ἀποκαλύπτειν· ἐξίστανται γὰρ ὑπὸ λύπης καὶ ὀργῆς ἐλεγχόμενοι, παρ' οἷς εὐδοκιμεῖν ἀξιοῦσιν· ἀλλὰ καὶ

εὔνοιαν πολλάκις καὶ προθυμίαν καὶ χάριν ἐγγενομένην ὑπ᾽ ἀρετῆς καὶ δικαιοσύνης δεῖ τὸν διδάσκαλον ἐπιδεικνύναι, καὶ πράως δὲ καὶ χρησίμως τοὺς μαθητὰς διευθύνειν καὶ οὐχὶ δεσποτικῶς καὶ βιαίως.

Καθ᾽ ὅλου δὲ γονεῖς καὶ διδασκάλους, οἷς ἡ τῶν παίδων ἀγωγὴ ἐπιβάλλεται, δεῖ ἀρκούντως προσέχειν τὸν νοῦν, μὴ τι ἁπαμβλύνωσι διὰ τῶν ἀγρίων καὶ βαναύσων αὐτῶν παιδευτικῶν τρόπων τὴν τῶν νέων φιλοτιμίαν. Ἀνάγκη οὖν φυλάττεσθαι τὴν φιλοτιμίαν ὡς ὀλεθριωτάτην καὶ κακίστην δαίμονα τοῖς χρωμένοις, μόνον δὲ ἐν τοῖς καλοῖς αὔξεσθαι τὸ φιλότιμον, ἀλλ᾽ οὐχὶ πάλιν ἵνα τρέψαντες τὸ φιλότιμον οἱ νέοι τὴν ἐπὶ τῷ λέγειν δόξαν ἀγαπήσωσι μᾶλλον τῆς ἀπὸ τῶν ἔργων καὶ τῶν στρατειῶν. Διὸ νέων ἐπιφάνεια καὶ τιμὴ τὰς μὲν ἐλαφρῶς φιλοτίμους φύσεις πρωϊαίτερον παραγενομένη σβέννυσι καὶ ἀποπίμπλησι ταχὺ τὸ διψῶδες αὐτῶν καὶ ἀψίκορον· τὰ δ᾽ ἐμβριθῆ καὶ βέβαια φρονήματα αὔξουσιν αἱ τιμαὶ καὶ λαμπρύνουσιν ὥστερ ὑπὸ πνεύματος ἐγειρόμενα πρὸς τὸ φαινόμενον καλόν. Χρείας ὅμως τυχούσης δοτέον νέῳ φιλοτίμῳ ἀπὸ τῶν καλῶν ἔργων καὶ δόξῃ τι καλλωπίσασθαι καί τι κομπάσαι· φυόμεναι γὰρ ἐν τοῖς τηλικούτοις αἱ ἀρεταὶ καὶ βλαστάνουσαι τό τε κατορθούμενον ἐκβεβαιοῦται τοῖς ἐπαίνοις, καὶ τὸ λοιπὸν αὔξονται μετὰ φρονήματος ἐπαιρόμεναι.

δ'. Τὰ Μαθήματα.

Τὰ πρὸς τὴν ὀρθὴν παιδείαν μαθήματα θείας εἰσὶ μοίρας, δῶρα τῶν Μουσῶν· διὸ καὶ ὁ Ζεὺς πολλὰς ἐγέννησε Μούσας, ὅπως ᾖ πᾶσιν ἀρύσασθαι τῶν καλῶν ἀφθόνως· οὔτε γὰρ κυνηγίας πάντες, οὔτε στρατείας, οὔτε ναυτιλίας, οὔτε βαναυσουργίας, παιδείας δὲ καὶ λόγου δεόμεθα πάντες. Λέγουσι δὲ, τοῦ κόσμου τριχῇ πάντα νενεμημένου, πρώτην μὲν εἶναι τὴν τῶν ἀπλανῶν μερίδα, δευτέραν δὲ τὴν τῶν πλανωμένων ἄστρων, ἐσχάτην δὲ τὴν τῶν ὑπὸ σελήνην· συνηρτῆσθαι δὲ πάσας καὶ συντετάχθαι κατὰ λόγους ἐναρμονίους, ὧν ἑκάστης φύλακα Μοῦσαν εἶναι. Μοῦσαι δ᾽ εἰσὶν ὀκτὼ καὶ συμπεριπολοῦσι ταῖς ὀκτὼ σφαίραις, ἐν αἷς τὴν τῶν πλανήτων πρὸς τὰ ἀπλανῆ καὶ πρὸς ἄλληλα συνέχουσι καὶ διασῴζουσιν ἁρμονίαν· μία δὲ τὸν μεταξὺ γῆς καὶ σελήνης τόπον ἐπισκοποῦσα καὶ περιπολοῦσα τοῖς θνητοῖς, ὅσον αἰσθάνεσθαι καὶ δέχεσθαι πέφυκε, χαρίτων καὶ ῥυθμοῦ καὶ ἁρμονίας ἐνδίδωσι, διὰ

λόγου καὶ ᾠδῆς πειθῶ πολιτικῆς καὶ κοινωνητικῆς συνεργόν ἐπάγουσα παραμυθουμένης καὶ κηλοῦσαν ἡμῶν τὸ ταραχῶδες καὶ τὸ πλανώμενον ὥσπερ ἐξ ἀνοδίας ἀνακαλουμένην ἐπιεικῶς καὶ καθιστᾶσαν. Περὶ μὲν οὖν τὰ οὐράνια μίαν τῶν Μουσῶν, τὴν Οὐρανίαν, φαίνεται εἶναι· καὶ εἰκὸς ἐκεῖνα μὴ πολλῆς μηδὲ ποικίλης κυβερνήσεως δεῖσθαι, μίαν ἔχοντα καὶ ἁπλῆν αἴτιον τὴν φύσιν· ὅπου δὲ πολλαὶ πλημμέλειαι, πολλαὶ δ᾽ ἀμετρίαι καὶ παραβάσεις, ἐνταῦθα τὰς ὀκτὼ μετοικιστέον, ἄλλην ἄλλο κακίας καὶ ἀναρμοστίας εἶδος ἐπανορθουμένας. Ἐπειδὴ δὲ ἐν ἑκάστῳ ἡμῶν δύο πράξεων ἀπολείπονται ἀρχαί, ἡ μὲν ἔμφυτος ἐπιθυμία ἡδονῶν, ἡ δὲ ἐπείσακτος δόξα ἐφιεμένη τοῦ ἀρίστου, καὶ τὸ μὲν λόγος, τὸ δὲ πάθος ἐστὶν ὅτε καλοῦνται, ἑτέρας δ᾽ αὖ πάλιν τούτων ἑκατέρου διαφορὰς ἐχόντος, ὧν ἑκάστην μεγάλης καὶ θείας ὡς ἀληθῶς παιδαγωγίας δεομένην, δι᾽ ὅπερ ἐπὶ πάντων τούτων λέγεται ἀνὰ μίαν τῶν ὀκτὼ Μουσῶν τετάχθαι κατὰ τοὺς ἐναρμονίους λόγους διακοσμοῦσαν, ἐφορώσης τῆς μητρὸς αὐτῶν Μνημοσύνης. Οὕτω τοίνυν τοῦ λόγου τὸ πολιτικὸν καὶ βασιλικὸν τὴν Καλλιόπην τετάχθαι φασί· τὸ φιλότιμον δὲ ἡ Κλειὼ μάλιστα κυδαίνειν καὶ συνεπιγαυροῦν εἴληχεν· ἡ δὲ Πολύμνια τοῦ φιλομαθοῦς ἐστι καὶ μνημονικοῦ τῆς ψυχῆς· Εὐτέρπη δὲ πᾶς ἄν τις ἀποδοίη τὸ θεωρητικὸν τῆς περὶ φύσιν ἀληθείας, οὔτε καθαρωτέρας οὔτε καλλίους ἑτέρῳ γένει παραλιπὼν εὐπαθείας καὶ τέρψεις· τῆς δ᾽ ἐπιθυμίας τὸ μὲν περὶ ἐδωδὴν καὶ πόσιν ἡ Θάλεια κοινωνητικὸν ποιεῖ καὶ συμποτικὸν ἐξ ἀπανθρώπου καὶ θηριώδους· ταῖς δὲ περὶ συνουσίαν σπουδαῖς ἡ Ἐρατὼ παροῦσα μετὰ πειθοῦς λόγον ἐχούσης καὶ καιρὸν ἐξαιρεῖ καὶ κατασβέννυσι τὸ μανικὸν τῆς ἡδονῆς καὶ οἰστρῶδες, εἰς φιλίαν καὶ πίστιν οὐχ ὕβριν οὐδ᾽ ἀκολασίαν τελευτώσης. Τελευταῖον τὸ δι᾽ ὤτων καὶ ὀφθαλμῶν ἡδονῆς εἶδος, εἴτε τῷ λόγῳ μᾶλλον εἴτε τῷ πάθει προσῆκον εἴτε κοινὸν ἀμφοῖν ἐστιν, αἱ λοιπαὶ δύο, Μελπομένη καὶ Τερψιχόρη, παραλαβοῦσαι κοσμοῦσιν· ὥστε τὴν μὲν εὐφροσύνην μὴ κήλησιν εἶναι, τὸ δὲ μὴ γοητείαν, ἀλλὰ τέρψιν.

Οἱ παλαιοὶ ὅμως ἁπάσας τὰς διὰ λόγου περαινομένας ἐπιστήμας καὶ τέχνας καταμαθόντες ἐν τρισὶ γένεσιν οὔσας, τῷ φιλοσόφῳ καὶ τῷ ῥητορικῷ καὶ τῷ μαθηματικῷ, τριῶν ἐποιοῦντο δῶρα καὶ χάριτας θεῶν καὶ τρεῖς τὰς Μούσας ὠνόμαζον. Ὕστερον δὲ ἐκκαλυπτομένων τῶν δυνάμεων, διαιροῦντες εἰς μέρη καὶ εἴδη

τρεῖς πάλιν ἑκάστην ἔχουσαν ἐν αὑτῇ διαφορὰς ἑώρων· ἐν μὲν τῷ μαθηματικῷ τὸ περὶ μουσικήν ἐστι καὶ τὸ περὶ ἀριθμητικὴν καὶ τὸ περὶ γεωγραφίαν, ἀστρολογίαν δ' ἔτι γεωμετρίᾳ, ποιητικὴν δὲ μουσικῇ συννεμομένην· ἐν δὲ τῷ φιλοσόφῳ τὸ λογικὸν καὶ τὸ ἠθικὸν καὶ τὸ φυσικόν [1])· ἐν δὲ τῷ ῥητορικῷ τὸ ἐγκωμιαστικὸν πρῶτον γεγονέναι λέγουσι, δεύτερον δὲ τὸ συμβουλευτικόν, ἔσχατον δὲ τὸ δικανικόν.

Ἀλλὰ πλὴν τῶν μαθημάτων τούτων, ἐφ' ὧν ἑκάστη τῶν Μουσῶν, ἐπίσκοπός ἐστι, δεῖ τὸν παῖδα τὸν ἐλεύθερον μηδὲ τῶν ἄλλων τῶν καλουμένων ἐγκυκλίων παιδευμάτων [2]) μήτε ἀνήκοον μήτε ἀθέατον εἶναι, ἀλλὰ ταῦτα μὲν ἐκ παραδρομῆς μαθεῖν, ὥσπερεὶ γεύματος ἕνεκεν (ἐν ἅπασι γὰρ τὸ τέλειον ἀδύνατον) τὴν δὲ φιλοσοφίαν πρεσβεύειν. καὶ τῶν ἀπορρήτων καὶ βαρυτέρων διδασκαλιῶν μετασχεῖν [3]). Εἰ δέ τινες ἐνδεῶς τοῖς ἰδίοις πράττοντες ἀδυνατήσουσι τοῖς μαθήμασι τούτοις χρῆσθαι, τὴν τύχην αἰτιάσθωσαν. Πειρατέον δ' οὖν εἰς δύναμιν τὴν κρατίστην ἀγωγὴν ποιεῖσθαι τῶν παίδων καὶ τοῖς πένησιν, εἰ δὲ μὴ τῇ γε δυνατῇ χρηστέον· ἡ γὰρ ἄγνοια, ὡς ἡ τυφλότης τοῖς μὴ βλέπουσι, μέγιστον εἶναι κακὸν λέγεται. Ὅθεν ὁ πάσης ὡς ἤδη ἐρρήθη ἀκροάσεως ἀπειργόμενος νέος καὶ λόγου μηδενὸς γευόμενος οὐ μόνον

1) Ἔπιθι καὶ κατωτέρω ἐν τῷ οἰκείῳ περὶ „φιλοσοφίας" μαθήματι.

2) Περὶ ἐγκυκλίου παιδεύσεως φαίνεται ὅτι καὶ Ἀριστοτέλης ἔγραψεν „Ἐγκυκλίων βιβλία δύο" καὶ ἕτερον „Διδασκαλίαι" (Διογ. Λαερτ. E, 26.). Ἡ ἐγκύκλιος δὲ παιδεία παρὰ τοῖς ἀρχαίοις συνίστατο ἐκ τῆς Γραμματικῆς, Ῥητορικῆς, Διαλεκτικῆς (Φιλοσοφίας), Ἀριθμητικῆς, Γεωμετρίας, Ἀστρονομίας καὶ Μουσικῆς, αἵτινες ὁμοῦ ἀπετέλουν τὰ ἐλευθέρια μαθήματα. Ἡ ἐγκύκλιος παιδεία διετέλεσεν ἔτι ὡς τὸ ἰδανικὸν μέσον τῆς παιδεύσεως [α]) τοῦ ἑλληνικοῦ ἔθνους μέχρι τῆς ῥωμαϊκῆς ἐποχῆς, ὅ τε ἀπώλετο ἤδη· δι' ὃ „das verlorene ethische Bildungsideal der griechischen Nation suchten die verschiedenen philosophischen Sekten auf ihre Weise in dem einzelnen Menschen herzustellen". (Zeller, Philosophie der Griechen II, 1, S. 250 ff.; III, 1, S. 381 ff.)

3) Οὕτω κατὰ Στράβωνα (*I.I*, 673) καὶ εἰς μεταγενεστέραν ἐποχήν· „Τοσαύτη δὲ τοῖς ἐνθάδε ἀνθρώποις σπουδὴ πρός τε φιλοσοφίαν καὶ τὴν ἄλλην ἐγκύκλιον παιδείαν γέγονεν, ὥσθ' ὑπερβέβληνται καὶ Ἀθήνας καὶ Ἀλεξάνδρειαν καὶ εἴ τινα ἄλλον τόπον δυνατὸν εἰπεῖν, ἐν ᾧ σχολαὶ καὶ διατριβαὶ τῶν φιλοσόφων γεγόνασιν".

α) Τοιαύτην θέσιν κέκτηται σήμερον ἐν τοῖς Γυμνασίοις τῆς Εὐρώπης ἡ διδασκαλία τῆς Ἑλληνικῆς γλώσσης, θεωρουμένης ὡς τὸ ἰδεῶδες τῆς παιδεύσεως αὐτῶν (das Bildungsideal).

ἄκαρπος ὢν ὅλος καὶ ἀβλαστὴς διαμένει πρὸς ἀρετήν, ἀλλὰ καὶ διαστρέφοιτο πρὸς κακίαν, ὥσπερ ἐκ χώρας ἀκινήτου καὶ ἀργῆς ἄγρια πολλὰ τῇ ψυχῇ ἀναδιδούς. Τὰς γὰρ ἐφ' ἡδονὴν ὁρμὰς καὶ πρὸς πόνον ὑποψίας οὐ θυραίους οὐδ' ὑπὸ λόγων ἐπεισάκτους, ἀλλ' ὥσπερ αὐτόχθονας οὔσας μυρίων παθῶν καὶ νοσημάτων πηγάς, ἐὰν ἐᾷ τις ἀφέτους, ἧ πεφύκασι, χωρεῖν, καὶ μὴ λόγοις χρηστοῖς ἀφαιρῶν ἢ παρατρέπων καταρτύῃ τὴν φύσιν, οὐκ ἔστιν ὃ τῶν θηρίων οὐκ ἂν ἡμερώτερον ἀνθρώπου φανείη. Ἡ φρόνησις δ' ἀπαιτεῖ προσέτι, ἵνα μὴ ἐν τῷ βίῳ κακοδαιμονήσωμεν, ἐπιτηδεῦσαι καὶ τὰ κάλλιστα τῶν μαθημάτων, ἅπερ εἰσὶ τὸ ἄρχεσθαι καὶ ἄρχειν, ἐπιμελεῖσθαι τῆς ἀληθείας, ἥτις μεγάλης ἀρετῆς ἀρχή ἐστι, διαφυλάσσειν τὴν πάτριον ἀγωγὴν τὴν πολιτείαν συνέχουσαν, ἐνδιατρίβειν εἰς τὴν ἱστορίαν τῶν παλαιῶν καὶ πατρίων καὶ μὴ συνάγειν ξενικὰ ἤθη καὶ μιμήματα βίων ἀπαιδεύτων καὶ πολιτευμάτων διαφόρων, μηδὲ λόγους ἐπεισιέναι ξένους· λόγοι γὰρ καινοὶ κρίσεις καινὰς ἐπιφέρουσι, ἐξ ὧν ἀνάγκη πάθη πολλὰ φύεσθαι καὶ προαιρέσεις ἀπαδούσας πρὸς τὴν καθιστῶσαν πολιτείαν ὥσπερ ἁρμονίαν καὶ εἰς διαφθορὰν τῶν πολιτῶν συντεινούσας. Καὶ τὸ μὲν πλῆθος τὰ πρὸς χρείαν γράμματα μόνον δεῖ μανθάνειν· τὴν δ' ἄλλην πᾶσαν παιδείαν μελέτην εἶναι εὐπειθείας καὶ πρὸς τὸ ἄρχεσθαι καλῶς γίνεσθαι καὶ πρὸς τὸ καρτερεῖν ἐν πόνοις καὶ νικᾶν ἐν μάχαις καὶ πρὸς τὸ τολμᾶν καὶ μὴ φυγομαχεῖν ἐν ταῖς ἁμίλλαις· ἡ δ' ἐξέχουσα κοινωνικὴ τάξις πολλὰ μὲν χρὴ μανθάνειν, μάλιστα δὲ τάδε [1]).

1. Θρησκευτικά.

Ἐπειδὴ ὁ Θεὸς ἐστι τὸ ὄντως ὄν, τὸ ἀΐδιον καὶ ἀγένητον καὶ ἄφθαρτον, ᾧ χρόνος μεταβολὴν οὐδὲ εἷς ἐπάγει, δεῖ αὐτὸ σεβομένους ἀσπάζεσθαι καὶ πάντῃ αὐτῷ καθαρὰν καὶ προσήκουσαν λατρείαν ἀπονέμειν, ἣν διδακτέον ἐκ τῶν Θρησκευτικῶν βιβλίων.

---

1) Ἐπειδὴ ἡ Παιδαγωγία τοῦ Πλουτάρχου ἐστὶ μᾶλλον Ἐγκυκλοπαιδική, περιέχουσα τὴν ἰδίως Παιδαγωγικήν, γενικήν τε καὶ ἐφαρμοσμένην, τῶν τε πολιτῶν, τῶν οἰκογενειῶν καὶ τῶν σχολείων (Staats-, Familien- und Schulpädagogik), ὡς καὶ τὴν Διδακτικήν, γενικὴν ἐπ' ἴσης καὶ εἰδικήν, μετὰ τῆς Μεθοδικῆς, διὰ τοῦτο ἐξεταστέον καὶ τὰ διάφορα εἴδη τῶν πρὸς διδασκαλίαν μαθημάτων (die einzelnen Disziplinen). Τῆς δὲ νεωτέρας Ἐγκυκλοπαιδείας τῆς Παιδαγωγίας εἰσὶν οἱ ἑξῆς κλῶνες·

Παιδαγωγική

I. Συστηματική

A. { φιλοσοφική / θεωρητική }

1. Ἱστορία φιλοσοφίας
2. Ἀνθρωπολογία
   a. Σωματολογία
   b. Ψυχολογία

ὡς βοηθητικὰ μαθήματα { 1. Λογική / 2. Ἠθική / 3. Αἰσθητική }

B. { ἐμπειρική / πρακτική }

γενική — ἐφημοσμένη

Ἰδίως Παιδαγωγική — Διδακτική

Σχολειακή
Οἰκογενειακή
Πολιτική

A. Γενική

I. Σκοπός — Ὕλη διδασκαλίας

II. Τρόποι
1. Ἀξία τῆς ὕλης
2. Κατάταξις
3. Ἐπεξεργασία
4. Μέθοδος
   a. Ἀναλυτική
   b. Συνθετική

B. Εἰδική

I. Σκοπός — Ὕλη διδασκαλίας

a. Πρὸς μόρφωσιν χαρακτῆρος (Gesinnungsunterricht)
1. Ἱερὰ ἱστορία
2. Ἐκκλησιαστικὴ ἱστορία
3. Θρησκευτικά

b. Παγκόσμιος ἱστορία (Profangeschichte)
1. Ἐπιστήμη τῶν τύπων καὶ σημείων (Γραμματική, Μαθηματικά)
2. Γεωγραφία [a]
3. Φυσικαὶ ἐπιστῆμαι

II. Τρόποι
Εἰς εἰδικὰ μαθήματα
Μεθοδική
1. Ἀξία τῆς ὕλης
2. Κατάταξις
3. Ἐπεξεργασία
   a. Προπαρασκευή
   b. Προσφορά
   c. Συναρμογή
   d. Συγκεφαλαίωσις
   e. Ἐφαρμογή

Κύκλος διανοημάτων τῆς παιδικῆς ἡλικίας

ἐμπειρία	συγκοινωνία
πρᾶγμα	ἄνθρωπος
φυσικὸς βίος	ἀνθρώπινος βίος
Γνῶσις	Συμμετοχή
ἐπέκτασις τῆς γνώσεως	ἐπέκτασις τῆς συγκοινωνίας
Φυσικαὶ ἐπιστῆμαι (Γεωγραφία / Μαθηματικά)	Ἱστορικὰ μαθήματα
Πρακτικὰ λύκεια (Realschulen)	Γυμνάσια (ἐξανθρωπιστικὰ)

c. Γραμματολογία (γλῶσσαι) (διὰ μέσην καὶ ἄνω παίδευσιν ἰδίως)
d. Τεχνικὰ μαθήματα.

---

a) Τῆς Γεωγραφίας προηγεῖται ἡ διδασκαλία τῆς Πατριδογραφίας πρὸς ἀναζωπύρησιν τοῦ πατριωτικοῦ συναισθήματος ὡς ἑξῆς·

Πατρίς

α. ἡ τῆς φύσεως	β. εἰδική	γ. αἰωνία (τοῦ Θεοῦ)
	1. Οἰκογένεια	
	2. Λαός	
	3. Πατρικὴ χώρα	

τοὺς ἑαυτοῦ ἀρίστους καὶ τοῖς διαφερόντως ἀγαθοῖς ἐθέλει συνεῖναι καὶ ὁμιλεῖν τοῖς ἐπὶ διδασκαλίᾳ μόνον καὶ παραινέσει βελτίστοις. Ταῦτα δὲ γνωρίζονται ἡμῖν διὰ τῆς πρὸς τὸ θεῖον παιδαγωγίας, δι' ἧς ἡ πόλις χειροήθης καθίσταται, καὶ διὰ τῶν θρησκευτικῶν μαθημάτων πρὸς ἀναζωπύρησιν τοῦ θρησκευτικοῦ συναισθήματος· τοὐναντίον δὲ δεινὸν μὲν ἀπιστία πρὸς τὰ θεῖα καὶ καταφρόνησις αὐτῶν, δεινὴ δὲ αὖθις ἡ δεισιδαιμονία. Ἀλλ' οὐ δεῖ πάλιν τὰ ἀκίνητα κινεῖν τῆς περὶ Θεῶν δόξης, ἣν ἔχομεν, περὶ ἑκάστου λόγον ἀπαιτεῖν καὶ ἀπόδειξιν· ἀρκεῖ γὰρ ἡ πάτριος καὶ παλαιὰ πίστις, ἧς οὔκ ἐστιν εἰπεῖν οὐδ' ἀνευρεῖν τεκμήριον ἐναργέστερον, ἀλλ' ἕδρα τις αὕτη καὶ βάσις ὑφεστῶσα κοινὴ πρὸς εὐσεβίαν, ἐὰν ἀφ' ἑνὸς ταράττηται καὶ σαλεύηται τὸ βέβαιον αὐτῆς καὶ νενομισμένον, ἐπισφαλὴς γίνεται πᾶσι καὶ ὕποπτος· οὐ γὰρ νομοθετήσαντες πάρεσμεν εἰς τὸν βίον, ἀλλὰ πεισόμενοι τοῖς διατεταγμένοις ὑπὸ τῶν τὰ ὅλα πρυτανευόντων Θεῶν καὶ τοῖς τῆς προνοίας θεσμοῖς.

2. Ἱστορία καὶ Βιογραφίαι.

Τῷ νῷ ἕκαστος καὶ τρέπειν ἑαυτὸν ἀεὶ καὶ μεταβάλλειν ῥᾷστα πρὸς τὸ δοκοῦν πέφυκεν, ὥστε χρὴ διώκειν τὸ βέλτιστον, ἵνα μὴ θεωρῇ μόνον, ἀλλὰ καὶ τρέφηται τῷ θεωρεῖν. Ὡς γὰρ ὀφθαλμῷ χρόα πρόσφορος, ἧς τὸ ἀνθηρὸν ἅμα καὶ τερπνὸν ἀναζωπυρεῖ καὶ τρέφει τὴν ὄψιν, οὕτω τὴν διάνοιαν ἐπάγειν δεῖ θεάμασιν, ἃ τὸ χαίρειν πρὸς τὸ οἰκεῖον αὐτὴν ἀγαθὸν ἐκκαλεῖ. Ταῦτα δέ ἐστιν ἐν τοῖς ἀπ' ἀρετῆς ἔργοις, ἃ καὶ ζῆλόν τινα καὶ προθυμίαν ἀγωγὸν εἰς μίμησιν ἐμποιεῖ τοῖς ἱστορήμασι. Φύσει δ' ἐπιτρέπει ἡμῖν, ὥστε διὰ τῆς ἱστορίας πρὸς τὸ κάλλιστον ἁρμοιοῦσθαι τῶν οἴκοθεν παραδειγμάτων τὸν βίον καὶ μεμνῆσθαι τῶν ἀπὸ γένους ἀρίστων, ἀκούοντας περὶ αὐτῶν ἀεί τι καὶ λέγοντας. Οὐδὲν γὰρ ὠφελεῖ τὰ τοιαῦτα τοὺς θεωμένους, πρὸς ἃ μιμητικὸς οὐ γίνεται ζῆλος οὐδὲ ἀνάδοσις κινοῦσα προθυμίαν καὶ ἁρμὴν ἐπὶ τὴν ἐξομοίωσιν· ἀλλ' ἥ γε ἀρετὴ ταῖς πράξεσιν εὐθὺς οὕτω διατίθησιν, ὥστε ἅμα θαυμάζεσθαι τὰ ἔργα καὶ ζηλοῦσθαι τοὺς εἰργασμένους. Τῶν μὲν οὖν ἐκ τῆς τύχης ἀγαθῶν τὰς κτήσεις καὶ ἀπολαύσεις, τῶν δ' ἀπ' ἀρετῆς τὰς πράξεις ἀγαπῶμεν, καὶ τὰ μὲν ἡμῖν παρ' ἑτέρων, τὰ δὲ μᾶλλον ἑτέροις παρ' ἡμῶν ὑπάρχειν βουλόμεθα. Τὸ γὰρ καλὸν ἐφ' αὑτὸ πρακτικῶς κινεῖ καὶ πρακτικὴν εὐθὺς ὁρμὴν

ἐντίθησιν ἠθοποιοῦν οὐ τῇ μιμήσει τὸν θεατήν, ἀλλὰ τῇ ἱστορίᾳ τοῦ ἔργου, τὴν προαίρεσιν παρεχόμενον.

Δεῖ οὖν ἐνδιατρῖψαι ἡμᾶς καὶ τῇ περὶ τοὺς βίους ἀναγραφῇ ἐνδόξων ἀνδρῶν διὰ πρᾳότητα καὶ δικαιοσύνην καὶ ἄλλας ἀρετὰς καὶ τῷ δύνασθαι φέρειν δήμων καὶ συναρχόντων ἀγνωμοσύνας ὠφελιμωτάτων ταῖς πατρίσι γενομένων. Τῇ γὰρ περὶ τὴν ἱστορίαν διατριβῇ καὶ τῆς γραφῆς τῇ συνηθείᾳ παρασκευάζομεν ἑαυτοὺς τὰς τῶν ἀρίστων καὶ δοκιμωτάτων μνήμας ὑποδεχομένους ἀεὶ ταῖς ψυχαῖς, εἴ τι φαῦλον ἢ κακόηθες ἢ ἀγεννὲς αἱ τῶν συνόντων ἐξ ἀνάγκης ὁμιλίαι προσβάλλουσιν ἐκκρούειν καὶ διωθεῖσθαι πρὸς τὰ κάλλιστα τῶν παραδειγμάτων ἵλεω καὶ πραεῖαν ἀποστρέφοντες τὴν διάνοιαν. Καὶ οὐ μόνον ἐκ τῶν βίων τῶν ἀγαθῶν ἀνδρῶν, ἀλλὰ καὶ ἐκ τῶν φαύλων λαμβάνομεν πεῖραν· οὕτω γὰρ δοκοῦμεν καὶ ἡμεῖς προθυμότεροι τῶν βελτιόνων ἔσεσθαι καὶ θεαταὶ καὶ μιμηταὶ βίων, εἰ μηδὲ τῶν φαύλων καὶ ψεγομένων ἀνιστορήτως ἔχοιμεν. Τελευταῖον τοίνυν διὰ μὲν τῆς ἱστορίας οὐχὶ τῆς ἀχρήστου, ἀλλὰ τῆς πρὸς κατανόησιν ἤθους καὶ τρόπου, αἱ ἐπιφανέσταται γράφονται τῶν πράξεων, ἐν αἷς οὐ πάντως ἔνεστι δήλωσις ἀρετῆς ἢ κακίας, ἐν δὲ τοῖς βίοις πρᾶγμα πολλάκις καὶ ῥῆμα καὶ παιδιά τις ἔμφασιν ἤθους ποιεῖν μᾶλλον ἢ μάχαι μυριόνεκροι καὶ παρατάξεις αἱ μέγισται καὶ πολιορκίαι πόλεων. Ὅθεν αἱ ἱστορίαι πολλὰς μὲν ἐπιτερπεῖς διατριβὰς ἔχουσι, τὸ δ' ἐπιθυμοῦν ἀεὶ τῆς ἀληθείας ἀκόρεστον ἀπολείπουσι καὶ ἄπληστον ἡδονῆς, δι' ἣν οὐδὲ τὸ ψεῦδος ἀμοιρεῖ χάριτος, ἀλλὰ καὶ πλάσμασι καὶ ποιήμασι τοῦ πιστεύεσθαι μὴ προσόντος ἔνεστιν ὅμως τὸ πεῖθον. Ὅταν δὲ μηδὲν ἔχουσα λυπηρὸν ἢ βλαβερὸν ἱστορία καὶ διήγησις ἐπὶ πράξεσι καλαῖς καὶ μεγάλαις προσλάβῃ λόγον ἔχοντα δύναμιν καὶ χάριν, οὐ μόνον μέγα καὶ πολὺ τὸ εὐφραῖνον, ἀλλὰ καὶ καθαρὸν καὶ ἀμεταμέλητόν ἐστιν.

3. Φυσικαὶ Ἐπιστῆμαι.

Ἐπειδὴ τῶν παιδεύσεων αἱ μὲν ὡς ἠθοποιοὶ ἢ πρὸς ἡδονήν τινα καὶ χάριν ἐλευθέριον σπουδάζονται, αἱ δὲ εἰς σύνεσιν ἢ πρᾶξιν, δεῖ τοῦθ' ἕνεκα καὶ τὰς φυσικὰς ἐκμανθάνειν ἐπιστήμας, ὧν δι' ἀπειρίαν θάμβος ἐνεργάζεται πρὸς τὰ μετέωρα τοῖς αὐτῶν τε τούτων τὰς αἰτίας ἀγνοοῦσι καὶ περὶ τὰ θεῖα δαιμονῶσιν, ἐν ᾧ ὁ φυσικὸς λόγος ἀπαλλάττων ἀντὶ τῆς φοβερᾶς καὶ φλεγμαινούσης

δεισιδαιμονίας τὴν ἀσφαλῆ μετ᾽ ἐλπίδων ἀγαθῶν εὐσεβίαν ἐργάζεται. Εἰκός δ᾽ ἐστι πάσας μὲν τὰς φυσικὰς ἐπιστήμας μάλιστα δὲ τήν τε ἀστρονομίαν [1]) μανθάνειν καὶ τὴν γεωργίαν ὡς λίαν χρησίμην, αἵτινες πρός τε κατανόησιν τῶν ἐν τῷ οὐρανῷ καὶ πρὸς ἐξημέρωσιν τῆς γῆς συντείνουσαι μόριον εὐσεβίας εἰσίν. Οὐδὲν γὰρ ἄλλο τῶν ἐπιτηδευμάτων οὕτως ἔρωτα δριμὺν εἰρήνης ἐργάζεται καὶ ταχὺν ὡς ὁ ἀπὸ γῆς βίος, ἐν ᾧ καὶ τῆς πολεμικῆς εὐτολμίας τὸ μὲν ὑπερμαχητικὸν τοῦ οἰκείου διαμένει καὶ πάρεστι, τὸ δὲ εἰς ἀδικίαν καὶ πλεονεξίαν ἀνειμένον ἐκκόπτεται, καὶ αὕτη μᾶλλον ὡς ἠθοποιὸς ἢ πλουτοποιὸς τέχνη καθίσταται.

4. Ὡραῖαι Τέχναι.

Ὁ ἄνθρωπος φιλότεχνος καὶ φιλόκαλος γεγονὼς πᾶν ἀποτέλεσμα καὶ πρᾶγμα νοῦ καὶ λόγου μετέχον ἀσπάζεσθαι καὶ ἀγαπᾶν πέφυκε. Τὸ αὐτὸ δὲ τῆς αἰσθήσεως πάθος οὐχ ὁμοίως διατίθησι τὴν ψυχήν, ὅταν μὴ προσῇ δόξα τοῦ λογικῶς ἢ φιλοτίμως περαίνεσθαι τὸ γενόμενον. Μὴ οὖν περὶ τὴν ὄψιν εἶναι δεῖ μηδὲ περὶ τὴν ἀκοήν, ἀλλὰ περὶ τὴν διάνοιαν ἡμῶν τὸ ἡδόμενον ἐπὶ τοῖς ἀκούσμασι καὶ θεάμασιν. Ἐπειδὴ δὲ τοίνυν διακείμεθα οἰκείως πρὸς τὰς ὡραίας τέχνας [2]) καὶ θαυμάζομεν αὐτὰς ὡς φύσει λογικοὶ καὶ φιλότεχνοι γεγονότες πρὸς τὸ λογικῶς καὶ τεχνικῶς πραττόμενον, δεῖ ἐνδιατρίβειν περὶ αὐτὰς καὶ σπουδάζειν. Ἀλλ᾽ ἐκ τῶν ὡραίων τεχνῶν προσήκει τοῖς δυναμένοις μόνον πολίταις ἐκμανθάνειν μάλιστα τὰς ἐν χρόνῳ ἢ πρακτικάς, τὴν ποίησιν, τὴν μουσικὴν καὶ τὴν ῥητορικήν, τὰς δὲ ἐν χώρᾳ ἢ ἀποτελεσματικάς, τὴν ἀρχιτεκτονικήν, τὴν πλαστικὴν καὶ τὴν ζωγραφικήν, μόνον τοῖς εἰς αὐτὰς καταγινομένοις καὶ ἀποκλειστικῶς αὐτὰς μανθάνουσιν [3]).

1) *Πρβλ. καὶ Πλάτ. Νόμ. Ζ*, 821—822. *Πολιτ. Ζ*, 528—530, B. *Τίμ.* 33, B.

2) *Πᾶσαι αἱ ὡραῖαι τέχναι εἰσὶ πρακτικαὶ καὶ ἀποτελεσματικαί, ὧν αἱ μὲν κριτὴν ἔχουσι τὸν χρόνον, ἅτε τῶν ἀποτελεσμάτων μετὰ τὴν πρᾶξιν ὁρωμένων, ἐκεῖναι δὲ τὸν τῆς πράξεως καὶ ἐνεργίας καιρόν* (*Σχόλιον Λιον. Θρᾳκός σελ.* 653 *κέξ.*).

3) *Τὸν Πλούταρχον βλέπομεν καὶ πασῶν τῶν ὡραίων τεχνῶν εἰδήμονα· δι᾽ ὃ καταλαμβάνει ἀμέσως τὴν προσήκουσαν θέσιν ἐν τῇ ἱστορίᾳ τῆς ἐπιστήμης τῆς Αἰσθητικῆς μετὰ τὸν Πλάτωνα, Ἀριστοτέλη καὶ Πλωτῖνον. Πλὴν γὰρ τῶν πρακτικῶν τεχνῶν, περὶ ὧν ἐν ἰδίοις ἔργοις πραγματεύεται, ἁπαντῶμεν παρ᾽ αὐτῷ ἐν ἅπασι τοῖς συγγράμμασιν αὐτοῦ ποικιλίαν καὶ ἀφθονίαν*

5. Ποίησις.

Μεγάλην καὶ ποικίλην τοῖς νέοις παρέχει ὠφελίαν καὶ χρησιμότητα ἡ τῶν ποιημάτων ἀνάγνωσις. Ἂν γὰρ οἱ νέοι ὀρθῶς ἐκτρέφωνται τοῖς ποιήμασι, καὶ ἀπὸ τῶν φαύλους καὶ ἀτόπους ὑποψίας ἐχόντων ἕλκειν τι χρήσιμον ἀμωσγέπως μαθήσονται καὶ ὠφέλιμον· καὶ ὅ τι ἂν ἀστεῖον εὕρωσι παρ' αὐτοῖς καὶ χρηστόν, ἐκτρέφειν χρὴ καὶ αὔξειν ἀποδείξεσι καὶ μαρτυρίαις φιλοσόφοις [1]*). Δεῖ τοίνυν τοὺς νέους ἐν ταῖς ἀκροάσεσι καὶ ἀναγνώσεσι τῶν ποιημάτων ἐθίζειν καὶ τὸ χρήσιμον ἀπ' αὐτῶν καὶ σωτήριον διώκειν· ἐν γὰρ τῇ ποιητικῇ πολὺ μὲν τὸ ἡδὺ καὶ τρόφιμον νέου ψυχῆς ἔνεστιν, οὐκ ἔλαττον δὲ τὸ ταρακτικὸν καὶ παράφορον, ἂν μὴ τυγχάνῃ παιδαγωγίας ὀρθῆς ἡ ἀκρόασις. Ἀλλ' οἱ ποιηταὶ ποιοῦσιν ἔτι πλάττοντες αὐτοὶ πράγματα καὶ μυθολογοῦντες* [2]*)· μεγάλην γὰρ χάριν κέκτηται ἡ ποίησις διὰ τῶν μύθων, ὃς λόγος ψευδὴς ἐοικὼς ἀληθινῷ βούλεται εἶναι· ἔτι δὲ καὶ πράξεις ἀτόπους γράφουσι πολλάκις. Συνταράττοντες δ' οὕτω ἡμᾶς ἀμαθεστάταις δόξαις ἁλίσκονται τοῖς αὐτῶν ποιήμασι, τὸν μὲν τόπον, ἐν ᾧ τοὺς θεοὺς κατοικεῖν λέγουσιν, ἀσφαλὲς ἔδος καὶ ἀσάλευτον καλοῦντες, οὐ πνεύμασιν, οὐ νέφεσι χρώμενον, ἀλλ' αἰθρίᾳ μαλακῇ καὶ φωτὶ καθαρῷ τὸν ἅπαντα χρόνον ὁμαλῶς περιλαμπόμενον, ὡς τοιαύτης τῷ μακαρίῳ καὶ ἀθανάτῳ διαγωγῆς μάλιστα πρεπούσης, αὐτοὺς δὲ τοὺς θεοὺς ταραχῆς καὶ δυσμενείας καὶ ὀργῆς ἄλλων τε μεστοὺς παθῶν ἀποφαίνοντες οὐδ' ἀνθρώποις νοῦν ἔχουσι προσηκόντων. Ἐπεὶ δ' ἔτι τοίνυν ἡ ποιητικὴ πολλάκις ἔργα φαῦλα καὶ πάθη μοχθηρὰ καὶ ἤθη μιμητικῶς ἀπαγγέλλει, δεῖ τὸ θαυμαζόμενον ἐν τούτοις*

ὕλης καὶ τῶν τριῶν ἄλλων ἀποτελεσματικῶν ὡραίων τεχνῶν, περὶ ὧν ἐκτενῶς ἐν τῇ ἰδιαιτέρᾳ ἡμῶν πραγματείᾳ διαλαμβάνομεν μετὰ παρατήματός τινος περὶ ἀσπίδων, σφραγίδων, νομισμάτων, κρατήρων καὶ λοιπῶν, καθ' ἃ Πλούταρχος ταῦτα διαλαμβάνει. Λίσθητικῆς δὲ συγγράμματα τοῦ Πλουτάρχου ἀπώλοντο διὰ τοῦ πανδαμάτορος χρόνου τάδε· „Περὶ Ῥητορικῆς βιβλία γ'· Εἰ ἀρετὴ ἡ Ῥητορική. Περὶ Ποιητικῆς. Περὶ ποιημάτων καὶ τὶς ἡ αὐτῶν ἐπιμελία. Περὶ ζῴων ἀλόγων ἢ ποιητικός. Περὶ φιλοκοσμίας (περὶ τοῦ καλοῦ).

1) *Κατὰ Στράβωνα* (I, B, 3) *οἱ παλαιοὶ φιλοσοφίαν τινὰ λέγουσι πρώτην τὴν ποιητικήν, εἰσάγουσαν εἰς τὸν βίον ἡμᾶς ἐκ νέων καὶ διδάσκουσαν ἤθη καὶ πάθη καὶ πράξεις μεθ' ἡδονῆς ... διὰ τοῦτο καὶ τοὺς παῖδας αἱ τῶν Ἑλλήνων πόλεις πρώτιστα διὰ τῆς ποιητικῆς παιδεύουσιν.*

2) *Πρβλ. καὶ* Döllinger, Heidentum und Judentum. S. 580.

καὶ κατορθούμενον μήτε ἀποδέχεσθαι τὸν νέον ὡς ἀληθές, μήτε δοκιμάζειν ὡς καλόν, ἀλλ' ἐπαινεῖν μόνον ὡς ἐναρμόττον τῷ ὑποκειμένῳ προσώπῳ καὶ οἰκεῖον. Ἡ γὰρ τῶν φαύλων διάθεσις ἔργων καὶ μίμησις, ἂν πρυσαποδῷ τὴν συμβαίνουσαν αἰσχύνην καὶ βλάβην τοῖς ἐργασαμένοις, ὠφέλησεν, οὐκ ἔβλαψε τὸν ἀκροώμενον. Ὅθεν χρὴ τοὺς νέους γεγυμνάσθαι καὶ τὴν τῶν ὀνομάτων χρῆσιν γινώσκειν, διὰ τὰς ἐν τοῖς ποιήμασιν ὑποψίας, εἰ μέλλοιεν ἐξ αὐτῶν ὠφεληθήσεσθαι καὶ μὴ βλαβήσεσθαι, πῶς δῆλον ὅτι τοῖς τῶν θεῶν ὀνόμασι χρῶνται, καὶ πάλιν τοῖς τῶν κακῶν καὶ ἀγαθῶν. Ἀλλ' ἐκεῖνο μᾶλλον οἰέσθω μίμησιν εἶναι τὴν ποίησιν ἠθῶν καὶ βίων καὶ ἀνθρώπων, οὐ τελείων οὐδὲ καθαρῶν οὐδ' ἀνεπιλήπτων παντάπασιν, ἀλλὰ μεμιγμένων πάθεσι καὶ δόξαις ψευδέσι καὶ ἀγνοίαις, διὰ δ' εὐφυΐαν αὐτοὺς πολλάκις μετατιθέντων πρὸς τὸ κρεῖττον. Ἡ γὰρ τοιαύτη παρασκευὴ τοῦ νέου καὶ διάνοια τοῖς μὲν εὖ λεγομένοις καὶ πραττομένοις ἐπαιρομένου καὶ συνενθουσιῶντος, τὰ δὲ φαῦλα μὴ προσιεμένου καὶ δυσχεραίνοντος, ἀβλαβῆ παρέξει τὴν ἀκρόασιν [1]).

6. Μουσική.

Μουσικήν φησιν ὁ Πλάτων ἐμμελείας καὶ εὐρυθμίας δημιουργὸν ἀνθρώποις ὑπὸ θεῶν οὐ τρυφῆς ἕνεκα καὶ κινήσεως ὥτων δοθῆναι, ἀλλὰ τὸ τῶν τῆς ψυχῆς περιόδων καὶ ἁρμονιῶν ταραχῶδες καὶ πεπλανημένον ἐν σώματι, μούσης τε καὶ χάριτος ἐνδείᾳ πολλαχῇ δι' ἀκολασίαν καὶ πλημμέλειαν ἐξυβρίζον, αὖθις εἰς τάξιν ἀνελίττουσαν οἰκείως καὶ περιάγουσαν παρεῖναι. Μέλος δὲ καὶ ῥυθμὸς καὶ ὄρχησις καὶ ᾠδὴ παραμειψάμεναι τὴν αἴσθησιν ἐν τῷ χαίροντι τῆς ψυχῆς ἀπερείδονται τὸ ἐπιτερπὲς καὶ γαργαλίζον· δι' ὃ καὶ λόγῳ ποίησις ἡδύσματα καὶ μέλη καὶ μέτρα καὶ ῥυθμοὺς ἐφαρμόσασα καὶ τὸ παιδεῦον αὐτοῦ κινητικώτερον ποιεῖ καὶ τὸ βλάπτον ἀφυλακτότερον. Τοῖς γὰρ μέλεσι καὶ ῥυθμοῖς ἐπιψάλλοντες καὶ καταυλοῦντες εὖ τίθενται καὶ καταπραΰνουσι καὶ τὴν μουσικὴν ἐπάγουσι τῇ ψυχῇ κηλήσεως ἕνεκα καὶ ταραμυθίας, ὡς οὐ πᾶν ἐχούσῃ διδασκαλίᾳ καὶ μαθήμασιν ὑπήκοον, οὐδὲ λόγῳ μεταβλητὸν

1) *Πᾶσα ἡ ποίησις ἐδιδάσκετο διὰ τῶν κανόνων τῆς μετρικῆς, ῥυθμικῆς καὶ μουσικῆς· ὁ γὰρ ποιητὴς ἦν σύναμα καὶ μελοποιὸς καὶ ὑποκριτής (ἐν τῇ διδασκαλίᾳ τῶν δραμάτων).* Ἔπιθι καὶ „Δοκίμιον Ὑποκριτικῆς" ὑπὸ Ἰλίᾳ Δασσαρήτου. Ἀθήνησιν 1883. σελ. 55.

ἐκ κακίας, ἀλλά τινος ἑτέρας πειθοῦς συνεργοῦ καὶ πλάσεως καὶ τιθασεύσεως δεόμενον. Ἀλλ' ἡ μουσικὴ παντὸς οἴνου μᾶλλον μεθύσκει τοὺς ὅπως ἔτυχε καὶ ἀνέδην αὐτῆς ἐμφορουμένους· αἱ γὰρ παντὸς ὀψοποιοῦ καὶ μυρεψοῦ καὶ δριμύτερα καὶ ποικιλώτερα φάρμακα τῶν μελῶν καὶ τῶν ῥυθμῶν καταχεόμεναι, τούτοις ἄγουσιν ἡμᾶς καὶ διαφθείρουσι. Μουσικὴ δὲ φαύλη καὶ ᾄσματα πονηρὰ ἀκόλαστα ποιοῦσιν ἤθη καὶ βίους ἀνάνδρους καὶ ἀνθρώπους τρυφὴν καὶ μαλακίαν καὶ γυναικοκρασίαν ἀγαπῶντας. Ἡ μουσικὴ οὖν, δι' ἧς καὶ πολλὰ κηλεῖται τῶν ἀλόγων, ὥσπερ ἔλαφοι σύριγξι, καθίσταται ἀνδροποιός, καὶ μάλιστα δὴ πληροῦσα ἐνθουσιασμοῦ καὶ ὁρμῆς τοὺς γνησίους ἐντρεφομένους καὶ προοδοποιεῖ πᾶσαν παίδευσιν καὶ σύντονον καὶ θυμοειδῆ τὴν διάνοιαν καθίστησιν· αἱ γὰρ ᾠδαὶ πρὸς εὐτείθειαν καὶ ὁμόνοιαν ἀνακλητικαί εἰσι διὰ μελῶν ἅμα καὶ ῥυθμῶν πολὺ τὸ κόσμιον ἐχόντων καὶ καταστατικόν, ὧν ἀκροώμενοι καταπραΰνονται λεληθότως τὰ ἤθη καὶ συνοικειοῦνται τῷ ζήλῳ τῶν καλῶν ἐκ τῆς ἐπιχωριαζούσης πρὸς ἀλλήλους κακοθυμίας. Ἔτι δὲ τὰ μέλη κέντρον ἔχουσιν ἐγερτικὸν θυμοῦ καὶ παραστατικὸν ὁρμῆς ἐνθουσιώδους καὶ πραγματικῆς, συντείνουσαι τάς τε ψυχὰς ἁρμόζειν καὶ τὰς στάσεις καταπαύειν. Πάντων δὲ τούτων ἕνεκα ἡ μουσικὴ ἐπεχωρίαζεν ἀνέκαθεν τοῖς Ἕλλησι τιμωμένη ὡς ἐν τῶν ἐλευθερίων μαθημάτων καὶ δι' αὐτῆς ᾤοντο δεῖν τὰς τῶν νέων ψυχὰς πλάττειν τε καὶ ῥυθμίζειν ἐπὶ τὸ εὔσχημον [1]), χρησίμης δῆλον ὅτι τῆς μουσικῆς ὑπαρχούσης πρὸς πάντα καιρὸν καὶ πᾶσαν ἐσπουδασμένην πρᾶξιν, προηγουμένως δὲ πρὸς τοὺς πολεμικοὺς κινδύνους. Ἅτε δ' οὖν ἤθων μάλιστα φροντίδα ποιημένοι οἱ παλαιοὶ τὸ σεμνὸν καὶ ἀπερίεργον τῆς ἀρχαίας μου-

1) *Τὴν διὰ Μουσικῆς παιδείαν τῶν ἀρχαίων Ἑλλήνων καθ' ἅπαντας αὐτῆς τοὺς κλῶνας ἀπαντῶμεν παρ' Ἀριστείδῃ τῷ Κοϊντιλιανῷ κατὰ τὸ διάγραμμα τόδε·*

I. *Θεωρητικόν*
- A. *τεχνικόν*
  1. *ἁρμονικόν*
  2. *ῥυθμικόν*
  3. *μετρικόν*
- B. *φυσικόν*
  1. *ἀριθμητικόν*
  2. *γεωμετρικόν*
  3. *διαλεκτικόν*

II. *Πρακτικόν*
- A. *χρηστικόν*
  1. *μελοποιΐα*
  2. *ῥυθμοποιΐα*
  3. *ποίησις*
- B. *ἐξαγγελτικόν*
  1. *ὀργανικόν*
  2. *ᾠδικόν*
  3. *ὑποκριτικόν.*

σικῆς προετίμων καὶ ἐνίαις τῶν ἁρμονιῶν ἐχρήσαντο πρὸς ἀνάπτυξιν τῶν ἠθῶν [1]). Συνάπτοντες δὲ τῇ μουσικῇ τὴν ἀνδρείαν καὶ λέξιν ἐν αὐτῇ ἀφελῆ καὶ ἄθρυπτον ἐπὶ πράγμασι σεμνοῖς καὶ ἠθοποιοῖς ἐνηρμόνιζον· ἔπαινοι γὰρ ἦσαν τῶν ὑπὲρ πατρίδος τεθνηκότων καὶ ψόγοι τῶν τρεσάντων, ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βίον, ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν πρέπουσα ταῖς ἡλικίαις.

Δικαίως οὖν οἱ ἀρχαῖοι τὴν Μουσικὴν ὡς τὸ ὕψιστον τῆς παιδεύσεως καὶ διαπλάσεως τῶν ἠθῶν μάθημα ἐθεώρουν [2]) καὶ παιδείαν τῆς ψυχῆς αὐτὴν ὠνόμαζον [3])· δι' ὃ καὶ τὴν τῶν ὄντων φορὰν καὶ τὴν τῶν ἀστέρων κίνησιν οὐκ ἄνευ μουσικῆς γίγνεσθαι καὶ συνεστάναι ἔφασκον· πάντα γὰρ καθ' ἁρμονίαν ὑπὸ τοῦ Θεοῦ κατεσκευάσθαι φασίν [4]). Ἀριθμοὶ οὖν καὶ τάξις καὶ δύναμις

---

1) *Οἱ ἀρχαῖοι ἔτι ἐχρῶντο ἰδίως ὀκτὼ ἁρμονίαις, αἱ καὶ ἐν τῇ Βυζαντιακῇ μουσικῇ παρέμειναν· αὗται δ' εἰσι*

1. Ὑπερμιξολύδιος (ἦχος πρῶτος)
2. Μιξολύδιος (ἦχος δεύτερος)
3. Λύδιος (ἦχος τρίτος)
4. Φρύγιος (ἦχος τέταρτος)
5. Λώριος ἢ ὑπομιξολύδιος (ἦχος πλάγιος πρῶτος)
6. Ὑπολύδιος (ἦχος πλάγιος δεύτερος)
7. Ὑποφρύγιος ἢ ὑποϋπερμιξολύδιος (ἦχος βαρύς)
8. Ὑποδώριος ἢ αἰολίς (ἦχος πλάγιος τέταρτος).

Περὶ πάντων τούτων ἐκτενέστερον ὡς καὶ περὶ τῶν παρ' ἀρχαίοις γενῶν, τόνων, ἡμιτονίων, διέσεων, ὑφέσεων, χρωῶν, πολυχόρδων, ὡς καὶ περὶ τῆς σχέσεως τῶν ἁρμονιῶν καὶ καθ' ὅλου τῆς ἀρχαίας Μουσικῆς πρὸς τὴν Εὐρωπαϊκὴν μουσικὴν ἔπιθι: Rofsbach und Westphal, Griechische Rhythmik und Harmonik, 2. Aufl. 1. Bd. S. 309 f. Bellermann, Die Tonleiten und Musiknoten der Griechen, Berlin 1847, S. 5. Fr. v. Drieberg, Die musikalischen Wissenschaften der Griechen, S. 48—52. Alix Tiron, Études sur la musique grecque, Paris 1866. A. Boeckh, Encyklopädie und Methodologie der philologischen Wissenschaften von Bratuscheck. Leipzig 1877. S. 500 *κέξ.* Fortlage, Das musikalische System der Griechen in seiner Urgestalt aus den Tonleitern des Alypius zum ersten Male entwickelt. Leipzig 1847 *καὶ ἄλλους. Ἐπὶ τούτοις δ' ἔπιθι καί* „Ästhetik der Tonkunst" von G. Engel. Berlin 1884.

2) *Ἔπιθι καὶ Πολυβ. Δ*, 19, 13 *κέξ. Πινδάρ. Πύθια* I, 1—30. *Πρβλ. καὶ τὸν μέγαν (ἀλλὰ Χωρίζοντα ἐν τῷ Ὁμηρικῷ ζητήματι) φιλέλληνα Θήρσιον* (Thiersch, Einleitung zu Pindars Werken, S. 88).

3) *Ἔπιθι τὸ ἐμὸν ἔργον „Δοκίμιον Ὑποκριτικῆς". σελ.* 52—72.

4) *Ἡ ἁρμονικὴ κίνησις τῶν ἑπτὰ πλανήτων ἀντιστοιχεῖ πρὸς τὴν τῶν ἑπτὰ μουσικῶν τόνων ὡς ἑξῆς·*

περιέκλεισαν τὴν ψυχὴν τοῦ κόσμου ἐν ἁρμονίᾳ καὶ συμμετρίᾳ καὶ ὁμοιότητι· ἡ δὲ ἄμορφος καὶ ἄτακτος ὕλη τοῦ κόσμου διὰ μουσικῆς εἰς τάξιν ἦχθη δι᾽ ἀριθμῶν καὶ λόγων δεθεῖσα καὶ ἐν γραμμαῖς, ἐκ δὲ τῶν γραμμῶν ἐν ἐπιπέδοις καὶ βάθεσι περιληφθεῖσα κατὰ τοὺς ἐμφαινομένους ἁρμονικοὺς καὶ ἀριθμητικοὺς καὶ γεωμετρικοὺς [1]) λόγους διὰ διαστημάτων καὶ μεσοτήτων καὶ ἡμιολίων καὶ τόνων καὶ κρουμάτων καὶ παντοδαπῶν ἄλλων τῆς μουσικῆς ἰδιοτήτων [2]).

7. Ῥητορική.

Τὴν Ῥητορικὴν [3]) ὁρίζεται τέχνην περὶ κόσμου καὶ εἰρημένου λόγου τάξιν εἶναι· δι᾽ ὃ αὕτη τέχνη τις τοῦ καλοῦ καὶ δημιουργὸς καὶ πειθοῦς συνεργὸς καὶ πρὸς ψυχαγωγίαν εἶναι λέγεται. Ὁ δὲ λόγος τοῦ ῥήτορος τὴν ἰσχὺν πάντα χειροῦσθαι καὶ τιθασεύειν πεφυκὼς καὶ ὄργανον πειθοῦς πρὸς τὸν δῆμόν ἐστι· δι᾽ ὃ τὸν λόγον δεῖ ὥσπερ δεύτερον σῶμα καὶ τῶν καλῶν, οὐ μόνον ἀναγκαῖον ὄργανον ἀνδρὶ μὴ ταπεινῶς βιωσομένῳ μηδ᾽ ἀπράκτως ἐξαρτύειν καὶ παρασκευάζειν. Ὁ λόγος τοίνυν μεγίστη ἐστὶ τοῦ ῥήτορος ἀρετή· δημοτικὸν γὰρ ἀποφαίνει ἄνδρα τὸν λέγειν μελετῶντα· θεραπείας γὰρ εἶναι τοῦτο δήμου παρασκευήν, τὸ δ᾽ ὅπως ἕξουσιν οἱ πολλοὶ πρὸς τὸν λόγον ἀφροντιστεῖν ὀλιγαρχικοῦ καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ προσέχοντος. Ἀλλ᾽ ὁ λόγος τοῦ ῥήτορος μήτε νεαρὸς ἔστω καὶ θεατρικός, ὥσπερ πανηγυρίζοντος καὶ στεφανηπλοκοῦντος ἐξ ἁπαλῶν καὶ ἀνθηρῶν ὀνομάτων, μήτ᾽ αὖ πάλιν ἐλλυχνίων ὄζων καὶ σοφιστικῆς περιεργίας ἐνθυμήμασι πικροῖς καὶ περιόδοις πρὸς κανόνα καὶ διαβήτην ἀπηκριβωμένος. Τὴν γὰρ τῶν πανηγυρικῶν λήρων καὶ φληναφημάτων καὶ τὴν θεατρικὴν καὶ παρατράγῳδον ὡς καὶ τὴν σμικρολογίαν τῆς λέξεως καὶ ταπείνωσιν δεῖ διευλαβεῖσθαι καὶ φεύγειν· ἡ μὲν γὰρ ὑπέρογκος ἀπολίτευτός ἐστιν, ἡ δὲ

Σελήνη	*Ἑρμῆς*	*Ἀφροδίτη*	*Ἥλιος*	*Ἄρης*	*Ζεύς*	*Κρόνος*
e	f	g	a	h	c	d
mi	fa	sol	la	si	do	re

Τοῦτο δὲ παρέλαβε Πλούταρχος ἐκ τῶν ῥήσεων τοῦ Πυθαγόρα, Ἀρχύτα καὶ Πλάτωνος. Ἔπιθι Ambros, Geschichte der Musik. 1. Bd., S. 319 ff.

1) Ἔπιθι καὶ κατωτέρω ἐν τῷ οἰκείῳ τῆς „Γεωμετρίας“ μαθήματι.

2) *Πλουτ. περὶ Ἐκλελ. Χρηστ.* 31—37. *Περὶ τῆς ἐν Τιμαίῳ Ψυχογ.* 11—19.

3) *Πρβλ. καὶ Ἀριστ. Ῥητορ. Β*, 24. *Πλάτ. Γοργίας* 454, B. 452, E. 455, A.

ἰσχνὴ λίαν ἀνέκπληκτος. Καθάπερ δὲ τὸ σῶμα οὐ μόνον ὑγιεινόν, ἀλλὰ καὶ εὐεκτικὸν εἶναι χρή, καὶ τὸν λόγον ὡσαύτως οὐκ ἄνοσον μόνον, ἀλλὰ καὶ εὔρωστον εἶναι δεῖ.

Καὶ ἐὰν μὲν ὁ λόγος ᾖ φιλόσοφος, τὸ μὲν ἐξ ἀπορίας καὶ ἀγνοίας θαῦμα καὶ θάμβος ἐξαίρει γνώσει καὶ ἱστορίᾳ τῆς περὶ ἕκαστον αἰτίας, τὸ δὲ εὔκολον καὶ μέγα καὶ φιλάνθρωπον οὐκ ἀπόλλυσιν· ἐὰν δ' ὁ λόγος ᾖ πολιτικός, τότε δέχεται οὗτος καὶ δικανικοῦ μᾶλλον καὶ γνωμολογίας καὶ ἱστορίας καὶ μύθους καὶ μεταφορᾶς [1]), αἷς μάλιστα κινοῦσιν οἱ χρώμενοι μετρίως καὶ κατὰ καιρόν, καὶ καθ' ὅλου ὄγκον καὶ μέγεθος, ἃ τῷ πολιτικῷ μᾶλλον ἁρμόττουσιν. Ἀλλὰ δεῖ ἀφ' ἑτέρου τὸν ῥήτορα ἀποφεύγειν καὶ τὸν μονόκωλον λόγον ὡς ἀμουσίας τεκμήριον· ἔπειτα δὲ καὶ πρὸς τὴν ἄσκησιν ἀψίκορον καὶ πάντῃ ἀνεπίμονον εἶναι λέγεται· μονῳδία γὰρ ἐν ἅπασίν ἐστι πλήσμιον, ἡ δὲ ποικιλία τερπνόν, καθάπερ καὶ ἐν τοῖς ἄλλοις ἅπασιν οἷον ἀκούσμασιν ἢ θεάμασιν. Οὐδ' αὖ πάλιν εἰς τὴν περὶ λέξιν καταγίνεσθαι ἄμιλλαν καὶ ζηλοτυπίαν, ἢ πρὸς ἑτέρους μικροπρεπὲς· φαίνεται καὶ σοφιστικόν, ἂν δὲ πρὸς τὰ ἀμίμητα γίγνηται, καὶ τελέως ἀναίσθητον. Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὰς ἀπαντήσεις τὸν ῥήτορα δεῖ τὸν λόγον εὔστροφον ἔχειν καὶ γεγυμνασμένον· ἀμυνομένῳ γὰρ συγγνώμην ἅμα καὶ χάριν ὁ καιρὸς δίδωσι· καὶ μὴ μόνον ἃ δεῖ λέγειν, ἀλλὰ καὶ ὡς δεῖ βουλευόμενον, πολλάκις ἐν αὐτῷ τῷ λέγειν ζητοῦντα καὶ συντιθέντα τὰς λέξεις, ἐνίσχεσθαι καὶ διαπίπτειν· ὀξεῖς γὰρ οἱ καιροὶ καὶ πολλὰ πολλάκις πολλαχῶς φέροντες ἐν ταῖς πολιτείαις ἀφνίδια. Οἱ λόγοι τοίνυν ἔστωσαν καλῶς συντεταγμένοι καὶ μεμελετημένοι, μηδὲν δ' εἰκῇ μήτε λέγειν μήτε πράττειν· οἱ γὰρ αὐτοσχέδιοι τῶν λόγων πολλῆς εὐχερείας καὶ ῥᾳδιουργίας εἰσὶ πλήρεις, οὔθ' ὅθεν ἀρκτέον, οὔθ' ὅποι παυστέον ἐστὶν εἰδότων. Χωρὶς δὲ τῶν ἄλλων πλημμελημάτων, οὓς ἂν ἐκ τοῦ παραχρῆμα λέγωσιν, εἰς ἀμετρίαν δεινὴν ἐμπίπτουσι καὶ πολυλογίαν· σκέψις δ' οὐκ ἐᾷ τῆς ἰκνουμένης συμμετρίας τὸν λόγον ἐκπίπτειν. Δεῖ δὲ τελευταῖον καὶ φωνῆς εὐεξίᾳ καὶ πνεύματος ῥώμῃ πρὸς οὐ φαῦλον, ἀλλὰ πάμμαχον ἀγῶνα τὸν τῆς πολιτείας ἠθληκότα κομίζειν τὸν λόγον, ὡς μὴ πολλάκις ἀπαγορεύοντα καὶ σβεννύμενον ὑπερβάλλοι τις αὐτόν, οὐ

1) *Πρβλ.* καὶ Ἑρμογένους προγυμνάσματα (κεφ. 1. 2. 4. 5) καὶ Θεμιστίου λόγον προτρεπτικόν (24 p. 366 ἔκδ. Dindorf).

μὴν ἀλλὰ καὶ κατὰ τὰς ἐπιβαλλούσας τάξεις τῆς φωνῆς καὶ σχηματισμοὺς τοῦ τε προσώπου καὶ τῶν χειρῶν· ἡ γὰρ φωνὴ λαμβάνουσα πλάσιν ἡδεῖα μὲν πρὸς ἀκοὴν τέθραπται καὶ πολλή, μετρίως δὲ πρὸς τὴν ἕξιν ἥρμοσται τοῦ σώματος.

8. Γυμναστικὴ καὶ Παιδιαί.

Ἐπειδὴ τὸ σῶμα τῇ ψυχῇ συγγενέστατόν ἐστιν, ἀμελούμενον δὲ καὶ παρορώμενον ὑπ' αὐτῆς οὐκ ἐθέλει συνεργεῖν, ἀλλὰ λυμαίνεται καὶ προλείπει τὰς πράξεις, δι' ὃ οὐ τοίνυν ἄξιον οὐδὲ τὴν τῶν σωμάτων ἀγωνίαν παρορᾶν, ἀλλὰ πέμποντας εἰς παιδοτρίβου τοὺς παῖδας ἱκανῶς ταῦτα διαπονεῖν, ἅμα μὲν τῆς τῶν σωμάτων εὐρυθμίας ἕνεκεν, ἅμα δὲ καὶ πρὸς ῥώμην· καλοῦ γὰρ γήρως θεμέλιος ἐν παισὶν ἡ τῶν σωμάτων εὐεξία [1]). Καθάπερ οὖν ἐν εὐδίᾳ τὰ πρὸς τὸν χειμῶνα προσήκει παρασκευάζειν, οὕτω ἐν νεότητι τὴν εὐταξίαν καὶ τὴν σωφροσύνην ἐφόδιον εἰς τὸ γῆρας ἀποτίθεσθαι. Οὕτω δὲ δεῖ ταμιεύεσθαι τὸν τοῦ σώματος πόνον, ὡς μὴ καταξήρους γινομένους πρὸς τὴν τῆς παιδείας ἐπιμελίαν ἀπαγορεύειν [2])· δι' ὃ καὶ πρὸς τοὺς στρατιωτικοὺς ἀγῶνας ἐπάναγκες τοὺς παῖδας ἀσκητέον, ἐν ἀκοντισμοῖς αὐτοὺς καταθλοῦντας καὶ τοξείαις καὶ θήραις καὶ ἱππασίαις [3]). Τὰ γὰρ τῶν

1) Πᾶσα ἑλληνικὴ πόλις πρὸ τοῦ Μεγάλου Ἀλεξάνδρου εἶχεν ἓν Γύμναστήριον· ἐν δ' Ἀθήναις τρία τοιαῦτα ὑπῆρχον, ἡ Ἀκαδήμεια, τὸ Λύκειον καὶ τὸ Κυνόσαργες.

2) Πρβλ. καὶ Πλάτ. Νόμ. Ζ, 794—795, D. Γοργίας 450, A. Πρωταγ. 313, E. Πολιτικός 267, E. Ἀριστ. Ρητορ. I, 5. Περὶ Ψυχῆς IV, 1. Πολιτ. Η, 3—4. Τοπικὰ Ε, 7. Ἠθ. Νικ. Β, 2. Μεγάλ. Ἠθικ. Α, 5.

3) Παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ὑπῆρχον καὶ ἰδιαίτεραί τινες κλίσεις (Liebhabereien), εἰς ἃς μάλιστα ἐνασμενίζεται οἱ ἐξέχοντες καὶ πλούσιοι ἔφηβοι ἐνησχολοῦντο. Τοιαῦται δ' ἦσαν ἡ ἱππασία, ἡ κυνηγεσία, ἡ ὀρνιθοτροφία (Ἰσοκρ. Ἀρεοπ. Ζ, 45), ἡ φιλαρέσκεια (Ἀριστοφ. Ὄρνιθ. 1281. Πρβλ. καὶ Δημοσθ. κατὰ Κόνωνος Πλάτ. Πρωταγ. καὶ Πλάτ. κωμικοῦ Fragmenta 124 παρὰ Kock), ἡ ἐν σκιραφείοις καὶ καπηλείοις διημέρευσις, ἔνθα δι' ἀστραγάλων καὶ κύβων ἔπαιζον καὶ μετὰ ἑταιρῶν συνδιελέγοντο. Αἱ τρεῖς ὅμως πρῶται μόνον ἦσαν τὸ πάλαι γνωσταὶ τοῖς ἐφήβοις, αἱ δὲ τελευταῖαι κατὰ πρῶτον μετὰ τὸν πελοποννησιακὸν πόλεμον τὸ πρῶτον εἰσήχθησαν. Βεβαίως ἡ ῥαθυμία ἐκείνη τῶν Ἀθηναίων πολιτῶν, ἧς ἐναντίον μάτην εἰς Δημοσθένης ἠγωνίζετο, ἐπήνεγκε τὸν ἐν καπηλείοις ἀνιστάμενον παρὰ τῇ νεολαίᾳ ἀκόλαστον βίον, ὃς ἄλλοθί που ὡς ἐν Βυζαντίῳ καὶ Θεσσαλίᾳ μᾶλλον ὑπερετέρει. (Ἰσοκρ. Ἀρεοπ. Ζ, 49. Φίλαρχος παρ' Ἀθηναίῳ Χ, 59 καὶ Θεόπομπος XII, 32. Ἐκ-

ἡττημένων ἐν ταῖς μάχαις ἀγαθὰ τοῖς ἐκνικῶσιν ἆθλα πρόκειται· πόλεμος δὲ ἐσκιατραφημένην σωμάτων ἕξιν οὐ δέχεται· ἰσχνὸς δὲ στρατιώτης πολεμικῶν ἀγώνων ἐθὰς ἀθλητῶν ἀπολέμων φάλαγγας διωθεῖ. Τοῦθ' ἕνεκα παρὰ τοῖς ἀρχαίοις ἡ γυμναστικὴ ἐθεωρεῖτο παιδεία τοῦ σώματος, ὡς ἀφ' ἑτέρου ἡ μουσικὴ παιδεία τῆς ψυχῆς [1]). Ἀλλ' ἐπειδὴ ἡ πολεμικὴ ἀρετὴ ῥώμης καὶ ἀκμῆς δεῖται καὶ προαπαιτεῖ οὐ χειρὶ καὶ πληγῇ μόνον, ἀλλὰ καὶ τόνῳ φωνῆς καὶ ὄψει προσώπου φοβερὸν εἶναι ἐντυχεῖν πολεμίῳ καὶ δυσυπόστατον δεῖ οὐ μόνον ἀκοντίζειν οὐδ' ὁπλομαχεῖν οὐδ' ἱππεύειν διδάσκειν τοὺς παῖδας, ἀλλὰ καὶ τῇ χειρὶ πυξὶ παίειν καὶ καῦμα καὶ ψῦχος ἀνέχεσθαι καὶ τὰ δινώδη καὶ τραχύνοντα τοῦ ποταμοῦ διανηχομένους ἀποβιάζεσθαι, καὶ διαπονεῖσθαι τὸ σῶμα αὐτῶν καὶ κατασκευάζειν κοῦφον ἅμα καὶ ῥωμαλέον ἢ διὰ κυνηγίου ἢ διὰ γεωργίας ἢ διὰ ὁδοιπορίας καὶ σκληραγωγίας καὶ ἐν πάσῃ καθ' ὅλου τῇ τοῦ σώματος ἀσκήσει ἐνασχολεῖσθαι. Μόνον δὲ ἡ τοιαύτη ἄσκησις καθίστησι τὰ σώματα πάσης μὲν πλάνης ἔμπειρα καὶ πάσης ἀνωμαλίας, χρησιμώτατα δὲ εἰς τοὺς ἀναγκαίους πολεμικοὺς ἀγῶνας, οὓς ὡς ποικιλωτάτην ὑπόθεσιν τῆς ἀρετῆς εἰκός ἐστιν ἀσπάζεσθαι· τοὐναντίον δὲ πάλιν οὐδὲ κυνὸς ἀντάξιος οὐδ' ὄνου δειλὸς ἀνὴρ καὶ ἄναλκις ὑπὸ πλούτου καὶ μαλακίας διερρυηκώς· τὴν γὰρ δειλίαν καὶ τὴν μαλακίαν λέγεται οὐ τρυφῆς καὶ πολυτελείας, ὥσπερ οἱ πολλοὶ νομίζουσιν, ἔκγονον εἶναι, ἀλλὰ μοχθηρᾶς φύσεως καὶ ἀγεννοῦς καὶ δόξαις πονηραῖς ἑπομένης. Ἐπειδὴ δὲ τὸ μὲν τρυφᾶν δουλικώτατόν ἐστι, βασιλικώτατον δὲ τὸ πονεῖν, ἔτι δὲ σωφροσύνην μετ' ἀνδρείας ἀσκοῦντες ἐπὶ πλεῖστον ἀνθρωπίνης ἀφικνοῦνται δυνάμεως, ἀλλ' οἱ πλεῖστοι τὰ φαῦλα δι' ἀπειρίαν τῶν καλῶν καὶ ἄγνοιαν βούλονται, τοῦθ' ἕνεκα δεῖ τοὺς νέους τὴν τοῦ σώματος ἕξιν αὐτουργίᾳ καὶ διαίτῃ σώφρονι καὶ στρατείαις ἀπ' ἀρχῆς συντρόφου γεγονότος πάνυ χρηστικὴν ἔχειν καὶ πρὸς ἰσχὺν καὶ πρὸς ὑγίειαν ὁμαλῶς συνεστῶσαν. Οὐ

τενέστερον περὶ τούτων πάντων ἐπιθι τὸ τοῦ φιλέλληνος Iwan Mueller, πολύτιμον Handbuch der klassischen Altertumswissenschaft. 4. Bd., 1. Hälfte, S. 455 c — 456 d).

1) Οὕτω ἀποφαίνεται καὶ ὁ παιδαγωγὸς Ἰσοκράτης „διττὰς ἐπιμελείας κατέλιπον ἡμῖν περὶ μὲν τὰ σώματα τὴν παιδοτριβικήν, ἧς ἡ γυμναστικὴ μέρος ἐστί, περὶ δὲ τὰς ψυχὰς τὴν φιλοσοφίαν". (Ἰσοκρ. περὶ ἀντιδ. § 181 καὶ 183. Πρβλ. καὶ Θεοκριτ. Εἰδύλλ. 24, 11).

μὴν ἀλλὰ δεῖ αὐτοὺς ἀείποτε γυμνάζεσθαι καὶ διαπονεῖσθαι ταῖς κινήσεσι προθύμως καὶ φιλοτίμως, καὶ μάλιστα τὸ πρῶτον ἐν παιδιαῖς [1]) ἀσχολεῖσθαι, αἳ ἀνάπαυσις καὶ ἥδυσμα τῶν πόνων καὶ τῆς διαίτης εἰσίν. Οὐ γὰρ μόνον ὁ Εὐρώτας οὐδ' ὁ μεταξὺ Βαβύκας καὶ Κνακιῶνος τόπος ἄνδρας ἐκφέρει μαχητὰς καὶ πολεμικούς, ἀλλὰ παρ' οἷς ἂν αἰσχύνεσθαι τὰ αἰσχρὰ καὶ τολμᾶν ἐπὶ τοῖς καλοῖς ἐθέλοντες ἐγγένωνται νέοι καὶ τοὺς ψόγους τῶν κινδύνων μᾶλλον φεύγοντες καὶ ἄνδρες γενναιόφρονες καθιστάμενοι μεγάλας ἐν ἑαυτοῖς ἐλπίδας ἔχοντες, εὐσεβίαν περὶ θεούς, πίστιν πρὸς φίλους, εὐτέλειαν, ἐγκράτειαν, εὐποιΐαν, ἀφοβίαν πρὸς θάνατον, εὐψυχίαν, φιλανθρωπίαν, ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς ἦθος, εὐστάθειαν ἐν βουλαῖς, τάχος ἐν πράξεσιν, ἔρωτα δόξης, προαίρεσιν ἐν τῷ καλῷ τελεσιουργόν.

Οὐ μόνον δὲ τοὺς νέους ἀλλὰ καὶ τὰς παρθένους ἔτι δεῖ τὴν ἐνδεχομένην τῶν σωμάτων ἐπιμελίαν ποιεῖσθαι [2]). Οὕτω ὁ μὲν Σόλων κατέβαλε τῶν νεανίδων τὸ οἰκουρεῖν καὶ ἐν κλινιδίοις διατρίβειν καὶ ἀεὶ διώκειν τὰ μαλθακὰ καὶ τὰ θρυπτόμενα ἡδοναῖς ἀνάνδροις καὶ ἀφίλοις καὶ ἀνενθουσιάστοις· ὁ δὲ Λυκοῦργος τὰ μέν γε σώματα τῶν παρθένων δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν, ὡς ἥ τε τῶν γεννωμένων ῥίζωσις ἰσχυρὰν ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα βλαστάνοι βέλτιον, αὐταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι καλῶς ἅμα καὶ ῥᾳδίως ἀγωνίζοιντο πρὸς τὰς ὠδῖνας. Ἀφελὼν δὲ θρύψιν καὶ σκιατραφίαν καὶ θηλύτητα πᾶσαν οὐδὲν ἧττον εἴθισε τῶν κόρων τὰς κόρας γυμνάς τε πομπεύειν καὶ πρὸς ἱεροῖς τισιν ὀρχεῖσθαι καὶ ᾄδειν καὶ παίζειν τῶν νεῶν παρόντων καὶ θεωμένων.

1) *Συνῳδὰ τῷ Πλάτωνι καὶ Ἀριστοτέλει ἀποφαίνεται καὶ ὁ φιλόσοφος Κάντιος ἐν ταῖς παιδαγωγικαῖς αὐτοῦ γνώμαις, ὅτι παρὰ τοῖς παισὶν αἱ παιδιαὶ ἐνασχόλημα τοῦ βίου αὐτῶν εἰσιν· τοὺς δὲ παῖδας ἢ ἰδιαιτέρως εἰς αὐτὰς οἴκοι καταγίνεσθαι ἢ μετ' ἄλλων ὁμοῦ συνηλίκων.* (Immanuel Kant, über Pädagogik von Ring, Königsberg, S. 74. *Πρβλ. καὶ* Grasberger, Erziehung und Unterricht im klassischen Altertum. Würzburg, 1864. 1. Teil, 1. Abtl., S. 1 — 163 *καὶ περὶ Γυμναστικῆς καθ' ὅλου, αὐτόθι* 2. Abtl. *Ἐπιθι καὶ Θουκυδ. B,* 42. 125).

2) *Περὶ τῆς Γυμναστικῆς τῶν παρθένων ἐπιθι καὶ* S. Boeckh Explic. Pindar. Pythia IX, p. 328.

9. Γεωμετρία.

Ἡ Γεωμετρία [1]), τμῆμα οὖσα τῆς μουσικῆς παιδεύσεως, ἀποστρᾷ προσισχομένους τῇ αἰσθήσει καὶ ἀποστρέφει ἐπὶ τὴν νοητὴν καὶ ἀΐδιον φύσιν, ἧς θεᾶ τέλος ἐστὶ φιλοσοφίας οἷον ἐποπτεία τελετῆς. Καὶ πᾶσι μὲν οὖν τοῖς καλουμένοις μαθήμασιν ὥσπερ ἀστραβέσι καὶ λείοις κατόπτροις ἐμφαίνεται τῆς τῶν νοητῶν ἀληθείας ἴχνη καὶ εἴδωλα. Γεωμετρία δὲ μάλιστα κατὰ Φίλωνα ἀρχὴ καὶ μητρόπολις οὖσα τῶν ἄλλων ἐπανάγει καὶ στρέφει τὴν διάνοιαν, οἷον ἐκκαθαιρομένην καὶ ἀπολυομένην ἀτρέμα τῆς αἰσθήσεως· δεῖ γὰρ ἀπόλλυσθαι καὶ διαφθείρεσθαι τὸ γεωμετρίας ἀγαθὸν αὖθις ἐπὶ τὰ αἰσθητὰ παλινδρομοῦσης καὶ μὴ φερομένης ἄνω μηδ᾽ ἀντιλαμβανομένης τῶν ἀϊδίων καὶ ἀσωμάτων εἰκόνων, πρὸς οἷς περ ἰὼν ὁ θεὸς ἀεὶ θεός ἐστι. Διὸ καὶ ὁ Λυκοῦργος τὴν μὲν ἀριθμητικὴν ἀναλογίαν ὡς δημοκρατικὴν καὶ ὀχλικὴν οὖσαν ἐξέβαλεν ἐκ τῆς Λακεδαίμονος, ἐπεισήγαγε δὲ τὴν γεωμετρικὴν ὀλιγαρχίᾳ σώφρονι καὶ βασιλείᾳ νομίμῃ πρέπουσαν· ἡ μὲν γὰρ ἀριθμῷ τὸ ἴσον, ἡ δὲ λόγῳ τὸ κατ᾽ ἀξίαν ἀπονέμει· καὶ οὐ πάντα ὁμοῦ μίγνυσιν, ἀλλ᾽ ἐστι χρηστῶν καὶ πονηρῶν εὔσημος ἐν αὐτῇ διάκρισις, ἀρετῆς δὲ καὶ κακίας διαφορᾷ τὸ οἰκεῖον ἀεὶ διαλαγχανόντων. Οὐ μὴν ἀλλὰ καὶ τὸν θεὸν γεωμετρεῖν λέγεται τὸν κόσμον· καὶ γὰρ καὶ τῆς τοῦ κόσμου γενέσεως καὶ τῆς ψυχῆς ἔκ τε τῆς ὕλης καὶ ἐκ τῶν νοητῶν ἡ σύστασις γέγονεν· ἀλλὰ τῆς μὲν ὕλης ἀεὶ βιαζομένης εἰς τὸ ἀόριστον ἀναδῦναι καὶ φευγούσης τὸ γεωμετρεῖσθαι, τοῦ δὲ λόγου καταλαμβάνοντος αὐτὴν καὶ περιγράφοντος καὶ διανέμοντος εἰς ἰδέας καὶ διαφοράς, ἐξ ὧν τὰ

---

1) *Γεωμετρικῶς φιλοσοφεῖ ἐπὶ τῆς δημιουργίας τοῦ κόσμου καὶ ὁ πολὺς Σπινόζας*, ὅς überschreibt sein System „Ethica ordine geometrico demonstrata", und bildet in der methodischen Form die Elemente des Euklides nach. (Ad. Trendelenburg, Historische Beiträge zur Philosophie; 2. Bd., S. 47 f. *Ἔπιθι περὶ τῆς Ὀντολογίας καὶ Κοσμολογίας τοῦ Σπινόζα παρὰ* Herbart, sämmtliche Werke von Hartenstein. 3. Bd. Metaphysik, 1. Teil, S. 158—188, Leipzig, 1850—52). *Κατὰ τὸν αὐτὸν ὡσαύτως βαίνουσι τρόπον καὶ ὁ Λεϊβνίτιος καὶ Κάντιος καὶ ἄλλοι τινὲς τῶν νεωτέρων φιλοσόφων, ὡς αὐτὸς ὁ* Herbart *ἐπ᾽ ἴσης.* (*Αὐτόθ. σελ.* 96 f.)

2) *Ἔπιθι ἀνωτέρω σελ.* 68 *σημ.* 1 *καὶ* 75. *Πρβλ. καὶ Πλάτ. Πολιτ. Ζ.*, 528. *Νομ. Ζ*, 819, C—820 D. *Θεαίτ.* 162, E.

φυόμενα πάντα τὴν γένεσιν ἔσχε καὶ σύστασιν. Οὕτω δὲ καὶ οἱ γεωμέτραι παισὶν οὕτω δυναμένοις ἐφ' ἑαυτῶν τὰ νοητὰ μυηθῆναι τῆς ἀσωμάτου καὶ ἀπαθοῦς οὐσίας εἴδη πλάττοντες ἁπτὰ καὶ ὁρατὰ μιμήματα σφαιρῶν καὶ κύβων καὶ δωδεκαέδρων προτείνουσιν [1]).

10. Φιλοσοφία.

Ἡ Φιλοσοφία [2]) περὶ ἀλήθειάν ἐστιν, ἀληθείας δὲ φῶς ἀπόδειξις, ἀποδείξεως δ' ἀρχὴ τὸ συνημμένον· ἀλλ' αὐτῆς τῆς ἀληθείας ἡ μάθησις οὕτως ἐράσμιόν ἐστι καὶ ποθεινόν, ὡς τὸ ζῆν καὶ τὸ εἶναι διὰ τὸ γινώσκειν. Ἀι' ὃ δεῖ πολὺν χρόνον ἐν φιλοσοφίᾳ παρατρεφόμενον καὶ πᾶν μάθημα καὶ ἄκουσμα παιδικὸν ἀπ' ἀρχῆς ἐθισθέντα προσφέρεσθαι λόγῳ φιλοσόφῳ μεμιγμένον, εὐμενῆ καὶ οἰκεῖον ἥκειν εἰς φιλοσοφίαν, ἣ μόνη τὸν ἀνδρεῖον καὶ τέλειον ὡς ἀληθῆ ἐκ λόγου τοῖς νέοις περιτίθησι κόσμον. Πᾶσι δὲ τοῖς ἄλλοις μαθήμασι τὴν φιλοσοφίαν ἐπιστησάτω παιδαγωγόν· αὕτη γὰρ ἱκανὴ κρῖναι τὸ μουσικῇ πρέπον μέτρον καὶ τὸ χρήσιμον [3]), καὶ ἐξ αὐτῆς πᾶσαν ἀρετὴν καρποῦσθαι καὶ δι' αὐτῆς ὡς μυσταγωγοῦ ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ ὁρωμένων ἕκαστον καὶ καλῶς χρῆσθαι τοῖς πράγμασι. Ἀι' ὃ πάσης τῆς ἄλλης παι-

1) Πλουτ. Συμπ. Προβλ. Η, β, 1—3. Περὶ τοῦ Εἰ τοῦ ἐν Δελφοῖς 6. Ἐκλ. Χρηστ. 31—37. Περὶ τῆς ἐν Τιμ. Ψυχογ. 11—19. 21. Ἐρωτικός 19, 14.

2) Ἡ φιλοσοφία κατὰ τοὺς Στωϊκοὺς ἄσκησίς ἐστι τέχνης ἐπιτηδείου· ἐπιτήδειον δ' εἶναι μίαν καὶ ἀνωτάτω τὴν ἀρετήν· ἀρετὰς δὲ τὰς γενικωτάτας τρεῖς. φυσικήν, ἠθικήν, λογικήν· δι' ἣν αἰτίαν καὶ τριμερής ἐστιν ἡ φιλοσοφία, ἧς τὸ μὲν, φυσικόν, τὸ δέ, ἠθικόν, τὸ δέ, λογικόν· καὶ φυσικὸν μέν, ὅταν περὶ κόσμου ζητῶμεν καὶ τῶν ἐν τῷ κόσμῳ· ἠθικὸν δέ, τὸ κατησχολημένον περὶ τὸν ἀνθρώπινον βίον· λογικὸν δέ, τὸ περὶ τὸν λόγον, ὃ καὶ διαλεκτικὸν καλοῦσιν. (Ψευδοπλουτ. Περὶ τῶν ἀρεσκ. τοῖς φιλοσόφοις Α, προοίμ. 2—3. Πρβλ. καὶ Γαληνοῦ, Περὶ φιλοσόφου ἱστορίας κ. γ', 3. Διογ. Λαερτ. Α, 18. Ζ. 40). Οὕτω διέκρινεν τὴν φιλοσοφίαν εἰς φυσικόν, ἠθικὸν καὶ λογικόν μέρος καὶ ὁ Σωκράτης, ὁ Πλάτων καὶ οἱ Ἀκαδημαϊκοί, ὁ Ἀριστοτέλης καὶ οἱ Περιπατητικοί. Ὁ δὲ Πλάτων τὸ λογικὸν ἐκάλεσε καὶ διαλεκτικόν, οὐχὶ τόσον ὡς ἐπιστήμην τοῦ διαλέγεσθαι, ὅσῳ μᾶλλον ὡς τέχνην τοῦ διανοεῖσθαι, ἐξ ἧς εὑρίσκεται ἡ ἀλήθεια, ἥτις ἐστὶ τὸ ὄντως ὄν, τουτέστιν αἱ ἰδέαι, ἐξ ὧν ἡ περιώνυμος ἐν τῇ ἱστορίᾳ τῆς φιλοσοφίας διδασκαλία τῶν ἰδεῶν ἐπήγασεν. Πρβλ. καὶ Diels Doxographi Graeci p. 72. 73. 567. 603.

3) Ἡ ἐγκύκλιος μουσικὴ δούλη τῆς σοφίας ἐστὶ κατὰ Φίλωνα τὸν Ἰουδαῖον (Περὶ τῆς εἰς τὰ προπαιδεύματα συνόδου § 14, Tom. III, S. 86 ἐκδ. Richter).

δείας δεῖ ὥσπερ κεφάλαιον ποιεῖν τὴν φιλοσοφίαν[1]), ἀλλὰ τὴν ἀληθῆ καὶ ὑγιᾶ καὶ οὐχὶ τὴν Ἐπικούρειον, ἣ καθοδηγοῖ τοὺς ἀνθρώπους εἰς τὴν τοῦ θεοῦ ἀδιαφορίαν καὶ εἰς τὴν ἀναίρεσιν τῆς θείας προνοίας. Περὶ μὲν γὰρ τὴν τοῦ σώματος ἐπιμελίαν διττὰς εὗρον ἐπιστήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν καὶ τὴν γυμναστικήν· ὧν ἡ μὲν τὴν ὑγίειαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησι· τῶν δὲ τῆς ψυχῆς ἀρρωστημάτων καὶ παθῶν ἡ φιλοσοφία μόνη φάρμακόν ἐστι. Διὰ γὰρ ταύτην ἐστὶ καὶ μετὰ ταύτης γνῶναι, τί τὸ καλόν, τί τὸ αἰσχρόν, τί τὸ δίκαιον, τί τὸ ἄδικον, τί τὸ συλλήβδην αἱρετόν, τί φευκτόν· πῶς θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις, πῶς ἀλλοτρίοις, πῶς ἄρχουσι, πῶς φίλοις, πῶς γυναιξί, πῶς τέκνοις, πῶς οἰκέταις χρηστέον ἐστί· ὅτι δὲ θεοὺς μὲν σέβεσθαι, γονεῖς δὲ τιμᾶν, πρεσβυτέρους αἰδεῖσθαι, νόμοις πειθαρχεῖν, ἄρχουσι δὲ ὑπείκειν, φίλους δ' ἀγαπᾶν, πρὸς γυναῖκας σωφρονεῖν, τέκνων δὲ στερκτικοὺς εἶναι, δούλους μὴ περιυβρίζειν· τὸ δὲ μέγιστον, μήτε ἐν ταῖς εὐπραγίαις περιχαρεῖς, μήτε ἐν ταῖς συμφοραῖς περιλύπους ὑπάρχειν, μήτε ἐν ταῖς ἡδοναῖς ἐκλύτους εἶναι, μήτε ἐν ταῖς ὀργαῖς ἐκπαθεῖς καὶ θηριώδεις· ἅπερ πάντων τῶν ἐκ φιλοσοφίας περιγιγνομένων ἀγαθῶν πρεσβύτατα κρίνονται. Ἀλλ' αὖ πάλιν φιλοσοφίας ἐχούσης τι καὶ γλίσχρον ἀμέλει καὶ ἀσύνηθες ἐν τοῖς πρώτοις ὀνόμασι καὶ πράγμασιν οὐ δεῖ φοβηθέντας τὰς ἀρχὰς ψοφοδεῶς καὶ ἀτόλμως ἐγκαταλιπεῖν, ἀλλὰ πειρώμενον ἑκάστου καὶ προσλιπαροῦντα καὶ γλιχόμενον τοῦ πρόσω, τὴν πᾶν τὸ καλὸν ἡδὺ ποιοῦσαν ἀναμένειν συνήθειαν. Ἥξει γὰρ οὐ διὰ μακροῦ πολὺ φῶς ἐπιφέρουσα τῇ μαθήσει καὶ δεινοὺς ἔρωτας ἐνδιδοῦσα πρὸς τὴν ἀρετήν· ὧν ἄνευ πάνυ τλήμονος ἀνδρός ἐστιν ἢ δειλοῦ τὸν ἄλλον ὑπομένειν βίον ἐκπεσόντα δι' ἀνανδρείαν φιλοσοφίας.

11. Διαλεκτική.

Ἐν τῇ Διαλεκτικῇ[2]) μεγίστην ἔχει δύναμιν ὁ συναπτικὸς σύνδεσμος, ἅτε δὴ τὸ λογικώτατον σχηματίζων ἀξίωμα. Οὕτω

1) *Τί ἐστι φιλοσοφία ἔπιθι καὶ* Ueberweg, Geschichte der Philosophie, 7. Aufl. 1. Bd., S. 2—5.

2) *Ὑπὸ τὸ ὄνομα τῆς Διαλεκτικῆς οἱ ἀρχαῖοι ἐνόουν ἅπασαν τὴν φιλοσοφίαν καὶ ἐντόνως τὸ λογικὸν αὐτῆς μέρος διὰ τοῦ ἐρωτᾶν καὶ ἀποκρίνεσθαι. Διαλεκτικὴ γὰρ τέχνη λόγων ἐστί, δι' ἧς ἀνασκευάζεται ἢ κατασκευάζεταί τι*

ἄρα λόγους ἀμφιβόλους ἐκφέρων τις αὖξει καὶ συνίστησι διαλεκτικὴν ὡς ἀναγκαίαν τοῖς μέλλουσιν ὀρθῶς συνήσειν [1]). Ἀλλὰ τὴν διαλεκτικὴν οὐ δεῖ καταλήγειν εἰς σοφιστικὴν περιεργίαν, ὡς ἐχρήσαντο ταύτῃ οἱ σοφισταί, οἳ τὸν ἥττω λόγον κρείττω ποιεῖν τῇ διαλεκτικῇ αὐτῶν ἐβούλοντο· ἀλλὰ τοιαύτην εἶναι, οἵαν Σωκράτης καὶ Πλάτων ἐμόρφωσαν [2]).

12. Ἠθική.

Τὴν Ἠθικὴν [3]) εἰκός ἐστι μανθάνειν, ὅπως δι' αὐτῆς κατασιῶμεν ἐνάρετοι· ἡ δὲ ἠθικὴ ἀρετὴ διδακτόν ἐστι τῇ μαθήσει κτωμένη. Ψάλλειν μανθάνουσιν ἄνθρωποι καὶ ὀρχεῖσθαι καὶ ἀναγινώσκειν γράμματα καὶ γεωργεῖν καὶ ἱππεύειν· ὑποδεῖσθαι μανθάνουσι, περιβάλλεσθαι· οἰνοχοεῖν διδάσκουσιν, ὀψοποιεῖν· ταῦτα ἄνευ τοῦ μαθεῖν οὐκ ἐστι χρησίμως ποιεῖν. Πανταχοῦ γὰρ

ἐξ ἐρωτήσεως καὶ ἀποκρίσεως τῶν προσδιαλεγομένων καὶ οὕτω εὑρίσκεται ἡ ἀλήθεια, ἥτις ἐστὶ τὸ ὄντως ὂν ἢ αἱ ἰδέαι. Θεμέλιον δὲ τῆς διαλεκτικῆς κατὰ Κικέρωνα ὁ νόμος τῆς τοῦ μέσου ἢ τρίτου ἀποκλείσεως (principium exclusi tertii sive medii), ὃν Hegel καὶ Fischer παρεξαγήσαντες κατεπολέμησαν Ἀλλὰ καὶ σήμερον ἔτι ὑπάρχουσι πολλοί, καθ' οὓς καὶ τὰς παραδόσεις (Vorträge) ἔτι ἐν διαλόγοις γίνεσθαι δεῖ. Πρβλ. Dühring, Natürliche Dialektik, Berlin 1865, S. 112f.).

1) Τῇ διαλεκτικῇ, ἣς εὑρετὴν ὁ Ἀριστοτέλης Ζήνωνα τὸν Ἐλεάτην καλεῖ (Διογ. Λαερτ. II, 57. Θ, 25), ποιεῖται χρῆσιν ὁ Πλούταρχος μόνον, ἵνα διέλθῃ τὴν ὕλην. Die Dialektik dagegen berührt Plutarch immer nur im Vorbeigehen. (Zeller, Die Philosophie der Griechen, 3. Teil, 2. Abtl., 3. Aufl., S. 164, Leipzig 1881.)

2) Πλάτ. Φαῖδρ. 276, E. „Πολὺ δ', οἶμαι, καλλίων σπουδὴ περὶ αὐτὰ γίνεται, ὅταν τις τῇ διαλεκτικῇ τέχνῃ χρώμενος, λαβὼν ψυχὴν προσήκουσαν, φυτεύῃ τε καὶ σπείρῃ μετ' ἐπιστήμης λόγους." Πρβλ. καὶ Πολιτ. Ζ, 533, C. 536, D. Τί δ' ἐστι διαλεκτική, ἔπιθι Πλωτῖνον ἐν τῷ περὶ Διαλεκτικῆς βιβλίῳ κ. 4.

3) Ἡ Ἠθικὴ κατὰ Herbart, τμῆμα τῆς Αἰσθητικῆς οὖσα, περιστρέφεται ἰδίᾳ εἰς τὴν ἔρευναν τῆς ἀρετῆς, τοῦ καθήκοντος καὶ τοῦ καλοῦ. Τούτων δὲ die Tugendlehre zeigt dem Menschen, wie seine Gesinnung, sein Charakter beschaffen sein soll, um vor dem eigenen Gewissen Billigung zu finden; die Pflichtenlehre zeichnet ihm für jegliche Lebenslage sein Thun und Lassen vor; die Güterlehre endlich belehrt ihn, welche Objekte seines Strebens wert sind, welche nicht. (Nahlowsky, Allgemeine Ethik, Leipzig 1885, 2. Aufl., S. 23. Πρβλ. καὶ τὴν ἱστορίαν τῆς Ἠθικῆς παρὰ Hartenstein, die Grundbegriffe der ethischen Wissenschaften, Leipzig 1844, S. 43—156. Καὶ παρὰ Steinthal ὡσαύτως ἐν τῇ Ἠθικῇ αὐτοῦ.

κανόσι καὶ σταθμοῖς καὶ μέτροις καὶ ἀριθμοῖς χρῶνται, ἵνα μηδαμοῦ τὸ εἰκῆ καὶ ὡς ἔτυχε τοῖς ἔργοις ἐγγένηται. Οἱ δὲ λέγοντες τὴν ἠθικὴν ἀρετὴν ἀδίδακτον εἶναι ποιοῦσιν ἀνύπαρκτον. Εἰ γὰρ ἡ μάθησις γένεσίς ἐστιν, ἡ τοῦ μαθεῖν κώλυσις ἀναίρεσις. Ἀλλὰ τὸ ἔργον τῆς διδασκαλίας τῆς Ἠθικῆς ἐναπόκειται μόνον τοῖς διδασκάλοις καὶ μάλιστα τοῖς παιδαγωγοῖς. Εἰ γὰρ μὴ γίνονται μαθήσει βελτίονες ἄνθρωποι, παραπόλλυται τότε ὁ μισθὸς τῶν παιδαγωγῶν. Πρῶτον γὰρ οὗτοι λαμβάνοντες ἐκ γάλακτος, ὥσπερ αἱ τίτθαι ταῖς χερσὶ τὸ σῶμα πλάττουσιν, οὗτοι ῥυθμίζουσι τοῖς ἔθεσιν εἰς ἴχνος τι πρῶτον ἀρετῆς καθιστάντες. Ἀλλὰ πρὸς κτῆσιν τῆς ἠθικῆς ἀρετῆς συντείνει τὰ μέγιστα πλὴν τῆς μαθήσεως καὶ ἡ ἕξις ἢ ἄσκησις, καὶ τὸ ἔργον πρὸς ὃ ἡ ἄσκησις, ἥτις ἡ διὰ τῶν γυμνασίων παρασκευὴ τοῦ σώματός ἐστιν [1]· ἡ γὰρ ἐν οἷς ἔξεστιν ἀποχὴ τῶν ἡδονῶν ἄσκησίς ἐστι τῇ ψυχῇ πρὸς ἃ κεκώλυται.

13. Μυθολογία.

Εἰς τὴν διδασκαλίαν τῶν παίδων συνιστῶνται οἱ Μῦθοι πρὸς ταχυτέραν καὶ εὐαρεστοτέραν τοῦ μαθήματος κατανόησιν [2]· ὁ γὰρ μῦθος λόγου τινὸς ἔμφασίς ἐστιν ἀνακλῶντος ἐπ' ἄλλα τὴν διάνοιαν καὶ μετέχοντος τῆς φιλοσοφίας ἐπικεκρυμμένης τὰ πολλὰ μύθοις καὶ λόγοις, ἀμυδρὰς ἐμφάσεις τῆς ἀληθείας καὶ διαφάσεις ἔχουσιν. Οὕτω δὴ τὰ περὶ Θεῶν τις ἀκούσας καὶ δεχόμενος παρὰ

1) *Διακριτέον τὴν θεωρητικὴν ἀπὸ τῆς πρακτικῆς ἠθικῆς. Ἔπιθι περὶ τούτου καὶ Ἀριστοτέλη (Ἠθικ. Νικομ. Β.* 1. *Πρβλ. καὶ Πλάτ. „περὶ ἀρετῆς“). Πρβλ. καὶ ἀνωτέρω σελ.* 34, 2. 37, 1.

2) *Οὕτω καὶ παρὰ Πλάτωνι (Πολιτ. Β,* 377, A) *„οὐ μανθάνεις, ἦν δ' ἐγώ, ὅτι τοῖς παιδίοις μύθους λέγομεν; τοῦτο δέ που ὡς τὸ ὅλον εἰπεῖν ψεῦδος, ἔνι δὲ καὶ ἀληθῆ“. Ἀλλὰ Πλάτων διαστέλλει μῦθον λόγου, λόγον μὲν τὰ ὅλως ἀληθῆ καλῶν, μῦθον δὲ τὸ ψεῦδος περιέχον (Γοργ.* 523. *Πρωταγ.* 320, C. 324, D. 328, C. *Φαίδ.* 61, B. *Τίμ.* 26, E. *Νόμ. Θ.* 879) *καὶ τὴν μυθολογίαν μετὰ τῆς ποιήσεως συζεύγνυσι (Πολιτ. Γ,* 394, B. 398, B), *ἅτε καὶ ὁ αὐτὸς πολλαχοῦ ποιητικαῖς ἀδείαις χρησάμενος, καὶ ὅλως εἰπεῖν τοὺς μυθώδεις τῶν λόγων τοῖς ἀληθινωτέροις ἀντιτάσσει (Πολιτ. Ζ,* 522, A)· *ἀλλ' ὁ αὐτὸς αὖ πάλιν ἐν ἄλλοις τόποις φανερός ἐστιν ἀλήθειαν ἡγούμενος τοῖς μυθολογήμασιν ἐνεῖναι, οἷς ἑκάστοτε ἐκ προνοίας κινεῖ· πολλαχῇ γὰρ τοὺς μύθους ἀντικρυς λόγους καλεῖ (Νόμ. Δ,* 713, E. *Γοργ.* 524, B. *Φαῖδρ.* 242, D) *καὶ ἀληθῆ αὐτοὺς λέγειν φησὶ (Νόμ. ΙΑ,* 927. *Τίμ.* 20, D. *Φαίδ.* 114, B) *καὶ εἰκότα διηγεῖσθαι (Τίμ.* 48, C. 72, D. *καὶ ἀλλαχοῦ).*

τῶν ἐξηγουμένων τὸν μῦθον ὁσίως καὶ φιλοσόφως, καὶ ὁρῶν μὲν ἀεὶ καὶ διαφυλάττων τῶν ἱερῶν τὰ νενομισμένα, τοῦ δ' ἀληθῆ δόξαν ἔχειν περὶ θεῶν μηδὲν οἰόμενος μᾶλλον αὐτοῖς μήτε θύσειν μήτε ποιήσειν κεχαρισμένον, οὐδὲν ἧττον ἀποφεύξοιτο κακὸν ἀθεότητος, δεισιδαιμονίαν. Ἐπεὶ δὲ μύθων καὶ λόγων ἀναμεμιγμένων κρατὴρ ἐν μέσῳ πρόκειται, καὶ ποῦ τις ἂν εὐμενεστέροις ἀκροαταῖς ἐπιτυχὼν ὡς νομίσματα ξενικὰ τούτους δοκιμάσειε τοὺς λόγους. Διὸ ἓν τῷ μύθῳ ἕτερόν τι δεῖ ὑπονοεῖσθαι καὶ μάλιστα λόγον ἐκ φιλοσοφίας μυσταγωγὸν ἀναλαβόντας ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ δρωμένων ἕκαστον, ἵνα μή, καθάπερ Θεόδωρος εἶπε, τοὺς λόγους αὐτοῦ τῇ δεξιᾷ προτείνοντος, ἐνίους τῇ ἀριστερᾷ δέχεσθαι τῶν ἀκροωμένων, οὕτως ἡμεῖς, ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν, ἑτέρως ὑπολαμβάνοντες ἐξαμάρτωμεν [1]).

1) Ὁ Πλούταρχος πολλαχοῦ χρῆται τοῖς μύθοις, ὧν τὸ περιεχόμενον ἀποτελοῦσι φιλοσοφικὰ ἀλήθειαι, ὡς γινώσκει ἀποκαθαίρειν δι' ἀλληγορικῆς ἑρμηνείας. Ὁ μῦθός ἐστι κατ' αὐτὸν ἡ ἀνταύγεια ἀληθείας τινός, ἣν αὐτὸς ἡμῖν δείκνυσι· τὴν δ' ἀλήθειαν ταύτην δεῖ οὕτω γενικὴν εἶναι, ὡς τοὺς θεούς, οὓς αὕτη ἡμᾶς διδάσκει· αἱ φιλοσοφικαὶ δὲ φράσεις εἰκονίζουσι τὸ οὐσιῶδες πάντων τῶν μύθων περιεχόμενον. Οὕτω τοιαῦτα τῶν μύθων ἑρμηνεία εὑρίσκεται ἐν πολλοῖς χωρίοις· Περὶ Ἴσιδ. καὶ Ὄσ. 4. 5—8. 25. 27. 35. 38—44. 45. 49. 51. 53—56. 58. 61—64. 66. 68—76. 78. 79. Περὶ τοῦ Εἰ τοῦ ἐν Δελφ. 2. 9. 17. 20. 21. Περὶ τοῦ μὴ χρᾶν ἔμμ. 12. Περὶ Ἐκλ. Χρησ. 14. 21. 42. Εἰ πρεσβυτ. πολιτ. 28. Συμπ. Προβλ. Ε, ι, 3, § 6. Περὶ τοῦ ἐμφαιν. προσ. τῆς σελην. 25, 7.

Η ΒΙΟΓΡΑΦΙΑ.

Ἠλίας Δασσαρήτης ἐγεννήθην ἐν Κοριτσᾷ — κειμένῃ ἐν τοῖς ὁρίοις Ἠπείρου πρὸς τῇ Μακεδονίᾳ — ἔτει σωτηρίῳ χιλιοστῷ ὀκτακοσιοστῷ πεντηκοστῷ ἑνάτῳ, ἐπὶ δεκάτῃ καὶ ὀγδόῃ μηνὸς Ἰουλίου, πατρὸς μὲν Ἀναστασίου, δημογέροντος ἐν τῇ πατρῴᾳ χώρᾳ διατελοῦντος καὶ τὸ τοῦ Ὡρολογοποιοῦ μετιόντος ἐπάγγελμα, ᾧ καὶ τὸ ζῆν ἐξεμέτρησε, μητρὸς δὲ Βασιλικῆς, ἀμφοῖν Ἠθαγενῶν κατοίκων καὶ τὸ τῆς ἀνατολικῆς ὀρθοδόξου ἐκκλησίας πρεσβευόντων δόγμα.

Παῖς ἔτι ὢν ἑλληνικῆς ἠξίωμαι ἀγωγῆς καὶ προπαιδεύσεως τὴν ἐγκύκλιον σπουδάζων παιδείαν ἐν Κοριτσᾷ καὶ εἶτα ἐν Θεσσαλονίκῃ· ἔφηβος δ' ἤδη ὢν καὶ τὸ δεδομένον τάλαντον πολλαπλασιάσαι τῆς πατρίδος ἕνεκα βουλόμενος μετέβην εἰς Ἀθήνας τὸ ὄγδοον πρὸς τὸ ἑβδομηκοστῷ τοῦ παρόντος αἰῶνος ἔτος, καὶ τὸ μὲν πρῶτον μετὰ διέτη φοίτησιν τοῦ γυμνασιακοῦ ἀπολυτηρίου ἠξίωμαι, εἶτα δὲ τῶν φοιτητῶν τῆς Ὀθωνείου Ἀκαδημείας θιασώτης νομίμῳ ἐγγραφῇ συνηρίθμημαι. Ἔτη δὲ τέτταρα ἐκεῖ φοιτήσας, τῆς τῶν φιλοσόφων Σχολῆς ἀπριξ ἐχόμενος, τῶνδε τῶν καθηγητῶν ἐριτίμων ἠκροασάμην, οἷς καὶ δημοσίᾳ τὴν ἐμὴν εὐγνωμοσύνην ἀποδίδωμι· Κωνσταντίνου τε Κόντου τὰς τῶν ἀρχαίων Γραμμάτων φιλολογικὰς διδασκαλίας, καὶ τοῦ φιλολογικοῦ αὐτοῦ Φροντιστηρίου μέλος τακτικὸν τυγχάνων, καὶ Σπυρίδωνος Φιντικλέους, Δημητρίου Σεμιτέλου, Ἰωάννου Πανταζίδου καὶ Γεωργίου Μιστριώτου· Ἀθανασίου Ῥουσοπούλου τὴν ἱστορίαν τῆς ἀρχαίας

Καλλιτεχνίας· Κωνσταντίνου Παπαρρηγοπούλου τὴν Ἑλληνικὴν ἱστορίαν· Χρήστου Παπαδοπούλου τὴν Λογικήν, Ψυχολογίαν καὶ Ἐγκυκλοπαιδείαν τῆς φιλοσοφίας (Μεταφυσικήν, Αἰσθητικήν, Ἠθικὴν) καὶ Νικολάου Κοτζιᾶ ἱστορίαν τῆς Φιλοσοφίας· Στεφάνου Κουμανούδου καὶ Εὐθυμίου Καστόρχη τὴν τῶν Ῥωμαίων φιλολογίαν καὶ Γραμματολογίαν· Ἡρακλέους Μητσοπούλου τὴν Ζωολογίαν, Κωνσταντίνου Μητσοπούλου τὴν Ὀρυκτολογίαν καὶ Γεωλογίαν καὶ Δημητρίου Στρούμπου τὴν Πειραματικὴν Φυσικήν.

Θέμενος οὖν πέρας ταῖς ἀκαδημαϊκαῖς σπουδαῖς τὴν διδασκαλικὴν ἠμπεσχόμην τήβεννον διδάξας μετὰ ζήλου ἐν Βεροίᾳ τῆς Μακεδονίας ὡς διευθυντὴς τοῦ αὐτόθι Ἡμιγυμνασίου ἓν μόνον ἔτος. Στοχασάμενος γὰρ ἐγκαίρως τελειοτέρας ἅψασθαι παιδείας, καὶ δὴ τῆς νεωτέρας Παιδαγωγικῆς ἐπιστήμης, ἀνέκαθεν ζηλωτῆς ἐμοὶ οὔσης, εἰς Γερμανίαν τέλος ἀφῖγμαι, τὸ μὲν πρῶτον ἐν τῇ τῆς Ἰένης Ἀκαδημείᾳ ἐγγραφείς, εἶτα δὲ τῶν τῆς Ἐρλάγγης Μουσῶν μέτοχος γενόμενος. Διακαὴς τοίνυν πόθος ἐπώτρυνέ με πρὸ πολλοῦ εὐρυτέρας ἐπιστημονικῆς ἐν τῇ σοφῇ τῶν Γότθων χώρᾳ μαθήσεως τυγχάνειν, ἵνα χρησιμώτερος τῇ πατρίδι γένωμαι· ἀπὸ γὰρ τῆς κτίσεως αὐτῆς (ἀπὸ τεσσάρων ὡς ἔγγιστα αἰώνων χρονολογουμένης τῆς κτίσεως Κοριτσᾶς) ὁ πρῶτος ἐν γένει, ὃς διδακτορικοῦ ἤδη ἐν τῇ φιλολογίᾳ διπλώματος καὶ δὴ ἐκ Γερμανίας ἠξίωμαι, δι' ὃ λίαν εὐτυχῆ θεωρῶ ἐμαυτὸν ἐπὶ τῇ χαρᾷ ταύτῃ ἐναβρύνοντα καὶ τὴν πραγμα τοποίησιν τοῦ ὀνείρου ἐκπιμπλάντα.

Καὶ ἐν μὲν Ἰένῃ τῶν ἓξ ἠκροασάμην Καθηγητῶν· Wilhelm Rein *— ἑνὸς τῶν ἐπιφανεστέρων τῆς σχολῆς* Herbart *ἀντιπροσώπων — εἰδικὴν Διδακτικήν, παιδαγωγικὴν Ἠθικὴν καὶ Ἐγκυκλοπαιδείαν τῆς Παιδαγωγίας, μέλος σύναμα τακτικὸν καὶ τοῦ Παιδαγωγικοῦ αὐτοῦ ἀκαδημαϊκοῦ Φροντιστηρίου τυγχάνων, περιλαμβάνοντος τὰς μὲν θεωρητικὰς καὶ κριτικὰς ἐν τῷ Πανεπιστημίῳ παιδαγωγικὰς ἀσκήσεις, τὰς δὲ πρακτικὰς ἐν τῇ συνημμένῃ αὐτῷ Σχολῇ* (Übungs-

schule)· Otto Liebmann *Λογικὴν καὶ Ἱστορίαν τῆς ἀρχαίας, νέας καὶ νεωτάτης Φιλοσοφίας*· Rudolf Eucken *Ψυχολογίαν, μετασχὼν καὶ τοῦ Φιλοσοφικοῦ αὐτοῦ Φροντιστηρίου (περὶ τῆς Σχολαστικῆς φιλοσοφίας)*· Richard Falckenberg *Ψυχολογίαν καὶ Αἰσθητικήν*· Georg Goetz *τὰς Τιβούλλου ποιήσεις καὶ Εὐριπίδου τὸν Κύκλωπα*· Heinrich Gelzer *Ῥωμαϊκὴν Ἱστορίαν τῶν αὐτοκρατόρων, μετασχὼν καὶ τοῦ Φιλολογικοῦ αὐτοῦ ἐν τῷ Πολυβίῳ Φροντιστηρίου*· Rudolf Gaedechens *τὰς τῆς Ὀλυμπίας, Τροίας, Μυκηνῶν καὶ Περγάμου ἀρχαιότητας. Ἐν δ' Ἐρλάγγῃ ἠκροασάμην ἀμφοῖν τῶνδε Καθηγητῶν*·· Iwan Mueller *τὸν ἰδιωτικὸν βίον τῶν ἀρχαίων Ἑλλήνων καὶ ἑρμηνείαν εἰς τὸ ΣΤ καὶ Ζ βιβλίον τῆς Πολιτείας Πλάτωνος καὶ* Gustav Class *φιλοσοφικὴν Ἠθικήν. Πᾶσι δ' οὖν τούτοις τοῖς ἐλλογίμοις Καθηγηταῖς ὡς καὶ τῷ ἐριτίμῳ ἐν Ἐρλάγγῃ γυμνασιάρχῃ κυρίῳ* Westermeyer *διὰ τάς, ἃς πρός με κατὰ τὰς τῶν παραδόσεων τοῦ Γυμνασίου ἐπισκέψεις ἐπεδείξατο, εὐμενεῖς καὶ φιλόφρονας αὐτοῦ διαθέσεις, χάριτας τὰς μεγίστας οὐ παύσομαι διὰ παντὸς ὁμολογῶν.*

Druck von Friedr. Andr. Perthes in Gotha.

Druck von Friedr. Andr. Perthes in Gotha.